ePublishing
ΕΘΝΙΚΟ ΚΕΝΤΡΟ ΤΕΚΜΗΡΙΩΣΗΣ NATIONAL DOCUMENTATION CENTRE

Μακεδονικά

Τόμ. 2


ΜΑΚΕΔΟΝΙΚΑ

ΣΥΓΓΡΑΜΜΑ ΠΕΡΙΟΔΙΚΟΝ

ΤΗΣ ΕΤΑΙΡΕΙΑΣ ΜΑΚΕΔΟΝΙΚΩΝ ΣΠΟΥΔΩΝ

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

1941-1952



ΕΝ ΘΕΣΣΑΛΟΝΙΚΗ

1953

# Φιλοθέου, πατριάρχου Κωνσταντινουπόλεως, εγκώμιον εις τον Άγιον Δημήτριον

*Βασίλειος Λαούρδας*

doi: 10.12681/makedonika.9276

Copyright © 2016, Βασίλειος Λαούρδας

Άδεια χρήσης Creative Commons Attribution-NonCommercial-ShareAlike 4.0.

**Βιβλιογραφική αναφορά:**

Λαούρδας Β. (2017). Φιλοθέου, πατριάρχου Κωνσταντινουπόλεως, εγκώμιον εις τον Άγιον Δημήτριον. *Μακεδονικά*, *2*, 556–582. https://doi.org/10.12681/makedonika.9276

https://epublishing.ekt.gr | **e-Εκδότης:** EKT | **Πρόσβαση:** 23/12/2024 01:42:09

# ΦΙΛΟΘΕΟΥ, ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ, ΕΓΚΩΜΙΟΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΔΗΜΗΤΡΙΟΝ

Ἐκδίδω κατωτέρω ἐκ δύο κωδίκων τῆς Ἐθνικῆς Βιβλιοθήκης τῆς Βιέννης ἐγκώμιον τοῦ ἁγίου Δημητρίου, γραφὲν ὑπὸ τοῦ ἐκ Θεσσαλονίκης καταγομένου καὶ δὶς ἀνελθόντος τὸν θρόνον τῆς Κωνσταντινουπόλεως Φιλοθέου, τοῦ λεγομένου καὶ Κοκκίνου (1353-1355 καὶ 1364-1375).

Ἐκ τῶν δύο αὐτῶν κωδίκων, γραφέντων ἀμφοτέρων κατὰ τὰς ἀρχὰς τοῦ 15ου αἰῶνος καὶ περιεχόντων καὶ ἄλλα, ἐκδεδομένα καὶ ἀνέκδοτα, ἔργα τοῦ Φιλοθέου, ὁλόκληρον τὸ ἐγκώμιον διασῴζει μόνον ὁ εἷς, ὁ Vindobonensis jur. gr. 12.[1] Ἐκ τοῦ δευτέρου κώδικος, τοῦ Vindobonensis theol. gr. 201,[2] ἐλλείπει τμῆμα σημαντικὸν ἐκ τοῦ μέσου καὶ ἐκ τοῦ τέλους τοῦ κειμένου. Καθ' ὅσον δύναμαι νὰ κρίνω ἐκ τῶν φωτογραφιῶν, τὰς ὁποίας ἔχω ὑπ' ὄψιν μου, κατὰ τὴν ἀρχικὴν στάχωσιν τοῦ κώδικος τὰ ἐλλείποντα τμήματα ἀπετέλουν ἀρχικῶς ἑνότητα, ἦσαν δηλαδὴ σελίδες τοῦ αὐτοῦ τετραδίου. Τὸ πρῶτον ἐκ τῶν δύο ἐλλειπόντων τώρα τμημάτων εἶναι τὸ περιέχον τὴν ὑπὸ τοῦ Φιλοθέου ἐμβληθεῖσαν εἰς τὸ ἐγκώμιον τοῦ ἁγίου Δημητρίου ἐπίκρισιν τῆς προσθήκης τοῦ «filioque» εἰς τὸ χριστιανικὸν δόγμα ὑπὸ τῆς καθολικῆς ἐκκλησίας. Λόγῳ τοῦ περιεχομένου τοῦ ἐλλείποντος αὐτοῦ τμήματος εἶναι θεμιτόν, νομίζω, νὰ συμπεράνωμεν ὅτι ἡ ἔλλειψις ὀφείλεται εἰς σκόπιμον ἀπομάκρυνσιν τῶν σελίδων αὐτῶν, συνεπείᾳ τῆς ὁποίας κατ' ἀνάγκην ἀπεμακρύνθησαν καὶ αἱ τελευταῖαι σελίδες τοῦ ἐγκωμίου. Ἡ ἀπομάκρυνσις δ' αὕτη δέον νὰ ἔχῃ γίνει πρὸ τῆς σημερινῆς συνεχοῦς ἀριθμήσεως τῶν σελίδων τοῦ κώδικος, ἐκ τῆς ὁποίας δὲν φαίνεται ὅτι τμῆμά τι ἐλλείπει. Ἡ ἀρίθμησις αὕτη ἀντικατέστησε ἄλλην, παλαιοτέραν, τὰ ἴχνη τῆς ὁποίας διακρίνονται σαφῶς ἐπὶ τοῦ κώδικος.

Λόγῳ τῆς ἀρίστης ἐπιμελείας, μεθ' ἧς ἐγράφησαν ἀμφότεροι οἱ κώδικες, ἡ παροῦσα ἔκδοσις δὲν εἶχε νὰ ἀντιμετωπίσῃ κριτικὰς δυσχερείας. Τὸ κείμενον παρέχεται ἐνταῦθα ἀκριβῶς ὅπως ἔχει εἰς τὸν κώδικα A (Vindobonensis jur. gr. 12). Αἱ ἐλάχιστοι καὶ ἀσήμαντοι ἀποκλίσεις τοῦ

---

[1] Nessel II, 28.
[2] Nessel I, 296 - 298.

ἑτέρου ἐκ τῶν κωδίκων παρέχονται ἅπασαι εἰς τὸ κριτικὸν ὑπόμνημα, εἰς ἰδιαίτερον δὲ τμῆμα, παρὰ πόδας τοῦ κειμένου, ἀναφέρω τὰς παραπομπὰς εἰς τὰ χωρία τῆς Καινῆς Διαθήκης, τὰ μνημονευόμενα ὑπὸ τοῦ Φιλοθέου. Εἰς τὸ τέλος τοῦ κειμένου ἐπισυνάπτεται ἐνταῦθα σύντομος ἐκτίμησις τοῦ περιεχομένου τοῦ ἐγκωμίου.

Ἡ δημοσίευσις τῆς μετὰ χεῖρας ἐργασίας εἰς τὰ «Μακεδονικὰ» ὀφείλεται εἰς τὴν εὐγενῆ φροντίδα τοῦ καθηγητοῦ κ. Στίλπωνος Κυριακίδου, πρὸς τὸν ὁποῖον ἐπιθυμῶ νὰ ἐκφράσω καὶ ἀπὸ ἐδῶ τὰς θερμὰς εὐχαριστίας μου.

# ΟΜΙΛΙΑ ΕΙΣ ΤΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΝ ΚΑΙ ΜΥΡΟΒΛΗΤΗΝ ΔΗΜΗΤΡΙΟΝ

1. Δημήτριος ἡμῖν τοῦ τε συλλόγου καὶ τῶν λόγων ἀφορμὴ πρόκειται σήμερον· Δημήτριος, ὁ περιφανὴς τῶν μαρτύρων Χριστοῦ κόσμος, ὁ τῆς ἐκκλησίας ἀρραγὴς καὶ στόλος καὶ πρόβολος, τὸ μέγα τῶν ἀπὸ Χριστοῦ καλουμένων πανταχοῦ γῆς καὶ φαιδρὸν καὶ ἥδιστον περιλάλημα, ὃν ἡ Φιλίππου Θεσσαλονίκη προενεγκοῦσα, τὸ μὲν ἀπὸ Φιλίππου καλεῖσθαι σπουδαίως εὖ μάλα παρῆκε διὰ τοῦτον τὸν μέγαν, καίτοι γε τοῦ Μακεδόνος ἐφ' οὕτω τοι μέγα δόξης ἀρθέντος καὶ οὕτω καὶ χρήμασι καὶ λόγοις καὶ πολέμοις καὶ στρατηγίαις καὶ
B1v τροπαίοις συχνοῖς οὐ τοὺς ὁμόρους Θετταλοὺς μόνον, ἀλλὰ καὶ | τὰς μακρὰν οὔσας τῶν πόλεων ἑλόντος τε καὶ δουλωσαμένου καὶ τὴν βασιλείαν καὶ τὸ κράτος ἑαυτῷ τε καὶ τοῖς ὁμοφύλοις ἐπηυξηκότος, ὡς καὶ τὸν παῖδα τὸν Ἀλέξανδρον τοῖς φίλοις ὥς φασιν ὑποψιθυρίζοντα λάθρᾳ, τὸν Φίλιππον ὡς πέρα τοῦ μετρίου φιλότιμον διασύρειν· μηδὲ γὰρ αὐτόν φησιν ἕξειν μετὰ τὴν τοῦ πατρὸς τελευτὴν τὴν βασιλείαν διαδεξόμενον, ὅπῃ τὴν ἀνδρείαν καὶ τῆς ψυχῆς ἐνδείξεται τὸ φιλότιμον, ἤδη σχεδὸν ἐκείνῳ πάντων ἑαλωκότων· ἀλλὰ καὶ Φίλιππον, ὅπερ ἔφην, καὶ Ἀλέξανδρον τὸν ἐκείνου καὶ τὰς θρυλλουμένας τῶν Μακεδόνων εὐτυχίας καὶ στρατηγίας καὶ πάνθ' ὁμοῦ τὰ ἐκείνων παρ' οὐδὲν ἡ τοῦ μεγάλου μεγάλη πατρὶς αὕτη θεμένη, *«Τί γὰρ περὶ τῶν ζώντων τοὺς νεκροὺς ἐρωτήσομεν»*, ὁ θαυμαστός φησιν Ἡσαΐας, πῶς δὲ καὶ τὴν εὐσεβῆ τε καὶ κοσμίαν κοσμήσουσιν οἱ τῆς εἰδωλικῆς ἀταξίας πλήρεις καὶ μέθης; *«μηδὲ γὰρ ἔλαιον ἁμαρτωλοῦ λιπανάτω τὴν κεφαλήν μου»*, Δαυίδ φησιν ὁ βασιλεὺς

---

Codices: A(=codex Vindobonensis jur. gr. 12, ff 293 - 317 verso).
B(=codex Vindobonensis theol. gr. 201, ff 1 - 20).

---

15 Plut. Alex. V. 20: Is. 8, 19. 23: Ps. 140, 5.

Titulus in B: Ὁμιλία εἰς τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ Δημήτριον τὸν μυροβλήτην καὶ εἰς τὸ εὐαγγελικὸν ῥητὸν τό: «ταῦτα ἐντέλλομαι ὑμῖν ἵνα ἀγαπᾶτε ἀλλήλους».

καὶ προφήτης, τὸν ἡμεδαπὸν τουτονὶ βλαστὸν καὶ ἐγχώριον, οἰκιστήν
τε καὶ πολιοῦχον | καὶ σωτῆρα καὶ πρόμαχον ἰσχυρὸν ἀντ' ἐκείνων
ὁμοῦ προβάλλεται πάντων, τὸ προσφυὲς καὶ γνήσιον ταύτης γέννημά
τε καὶ θρέμμα, τὸν θαυμαστόν φημι τῷ ὄντι καὶ μέγαν Δημήτριον.
Εἰ γοῦν καὶ μέγα τί φασι καὶ καινὸν καὶ οὐ πόρρω τῶν ἀμηχάνων
τὸ τὰς ἴσας ἂν ἀπονέμειν ἀμοιβὰς τοῖς γεγεννηκόσι δεδυνῆσθαι τοὺς
94 παῖδας, ἀλλ' | οὗτος οὕτω λαμπράς τινας καὶ ὑπερφυεῖς ἀντέδωκε
τὰς ἀμοιβὰς τῇ γεγεννηκυίᾳ καὶ οὕτω γε θαυμαστῶς καὶ καθ' ὑπερ-
βολὴν παρήλασε τὰ ἐκείνης, οὐ τὸ καλῶς καὶ εἶναι καὶ ζῆν μόνον
διὰ λουτροῦ παλιγγενεσίας καὶ ἀνακαινώσεως πνεύματος ἀντὶ τοῦ
ἁπλῶς εἶναι καὶ ζῆν μετὰ τοὺς πρώτους, δῆλα δὴ τοῦ Εὐαγγελίου
κήρυκας καὶ ὑπηρέτας τοῦ λόγου, πρῶτος δεδωκὼς τῇ ταῦτα δωρη-
σαμένῃ, οὐδὲ λόγῳ θεοῦ μόνον, ὃν δὴ καὶ ἄρτον ἀγγέλων φασίν,
ἐκθρέψας καὶ εἰς μέτρον πνευματικῆς ἡλικίας προαγαγὼν τὴν σωμα-
τικῶς αὐτῷ ταυτὶ δεδωκυῖαν, ἀλλὰ καὶ πεσὼν εὐκλεῶς ἐν αὐτοῖς
τούτοις καὶ τὴν ψυχὴν ὑπὲρ τῆς πατρίδος καὶ τοῦ κατ' αὐτὴν εὐδο-
v κίμου θείς, ἐν τῷ τοῦ κόσμου | παρασtάντι γενναίως· οὐ μὴν ἀλλὰ
καὶ μετὰ τὴν χριστομίμητον ἐκείνην σφαγὴν καὶ τὸν ἱερὸν ὄντως
θάνατον, οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον παρὼν τε καὶ συνὼν ὑπερ-
φυῶς τῇ φίλῃ πατρίδι καὶ πολέμων καὶ βαρβάρων καὶ μάχης καὶ
δόλου καὶ πάσης ἐπιβουλῆς τε καὶ καταδρομῆς τῆς ἐκεῖθεν καὶ
προσέτι καὶ λιμοῦ καὶ φθορᾶς καὶ νόσων καὶ παθῶν ποικίλων τε
94v καὶ μεγίστων ἐρ|γαζόμενος ταύτην ἐξάντη. Τοῖς μὲν γὰρ σωματι-
κῶς ὑπὲρ τῆς σφετέρας πατρίδος καὶ τῶν ὁμοφύλων ἱσταμένοις τε
καὶ προπολεμοῦσι μέχρι τῆς ἐνταῦθα ζωῆς οἱ ἀγῶνες καὶ θάνατος
αὐτοῖς τὴν φιλοτιμίαν κατὰ φύσιν ὁρίζει, τὴν μνήμην αὐτῶν καὶ τὰς
πράξεις ὡς ἐπὶ πολὺ συναποκρύπτοντος τοῖς ὀστέοις τοῦ τάφου καὶ
λήθης βυθοῖς ὡσανεὶ καταχωννύντος ταῦτα τοῦ χρόνου, ὁ δὲ μετὰ
τὸν ὑπὲρ Χριστοῦ θάνατον, ὃν ὑπὲρ τῆς ἐν Χριστῷ τῆς πατρίδος
ζωῆς τε καὶ σωτηρίας πνευματικῶς προϊστάμενος, ἧπερ ἔφην, ἀνέ-
τλη, τὸν ὑπὲρ αὐτῆς ἀνεδέξατο πόλεμον μᾶλλον καὶ τοὺς ἀγῶνας, οὐ
τὸν πρὸς τοὺς ὁρωμένους τούτους ἐχθροὺς αἰσθητὸν καὶ φαινό-
μενον ὑπελθὼν μόνον πόλεμον καὶ τὴν μάχην, *«οὐδὲ | πρὸς αἷμα
καὶ σάρκα τὴν πάλην»* ἀράμενος μόνον, ἥ φησιν ὁ σοφὸς καὶ στρα-
τηγὸς καὶ διδάσκαλος Παῦλος, *«ἀλλὰ καὶ πρὸς τὰς ἀρχὰς καὶ τὰς
ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου»*,

---

33 : Eph. 6, 12.

---

18 χριστομίμητον : θαυμαστὴν in rasura B. 22 λιμῶν B.

τὸν νοητόν φημι καὶ ἀόρατον πόλεμον καὶ τὴν μάχην, μὴ νυκτί, μὴ
ὕπνῳ, μὴ τροφῇ, μὴ τῶν ἀναγκαίων ἑνὶ μηδενὶ μηδ' ὁπωστιοῦν
A295 διακοπτομένην· ἐντεῦθεν ἔμοι γε | θαυμάζειν ἔπεισι μάλιστα τουτονὶ
τὸν γεννάδαν κἀκ τούτων τῶν ἀφορμῶν τε καὶ τῶν ἀρχῶν πρὸς τοὺς
ἀγῶνας ὁρμᾶν καὶ καταβαίνειν τῶν ὑπὲρ αὐτοῦ λόγων τε καὶ τῶν
ἐγκωμίων, μᾶλλον δὲ καὶ ἀρχὴν καὶ μέσην καὶ τέλος καὶ μέσα καὶ
πρῶτα καὶ τελευταῖα τίθεσθαι ταῦτα κατὰ πάντων ἀνῃρημένα τὸ
κράτος καὶ τῶν προσόντων ἀγαθῶν ἐκείνῳ πάντων τῶν τε θείων ὁμοῦ
καὶ τῶν ἀνθρωπίνων ὑπερέχοντα πολλῷ τινι καθ' ὑπερβολὴν τῷ μέσῳ,
δι' ἃ καὶ τοῦ μακαρίου καὶ ὑπερφυοῦς διὰ Χριστὸν ἠξίωται τέλους.
Τί γάρ μοι, πρὸς τὸν νῦν εὐφημούμενον καὶ τοὺς λόγους τουτουσὶ
B3v τοὺς ὑπὲρ ἐκείνου, μέγεθος | πατρίδος καὶ θέσις καὶ κάλλος καὶ
πλοῦτος καὶ ἦθος καὶ φρόνημα καὶ τάξις καὶ εὐνομία, ποταμῶν τε
χάριτες καὶ θαλάττης ἠρέμα περικλυζούσης, ὀρῶν τε καὶ πεδίων
κάλλος καὶ γῆς εὐφορία καὶ χωρῶν εὐθηνία τῶν πέριξ, ὧν ἐκεῖνος
ὤφθη μᾶλλον, ἧπερ ἔφην, καὶ δόξα καὶ κόσμος; τί δὲ καὶ γένους
λαμπρότης καὶ περιφάνεια βίου καὶ νεότητος ἄνθος καὶ κάλλος καὶ
ῥώμη σώματος, ἀξιωμάτων τε καὶ ἀρχῶν λαμπρότητες καὶ βασιλικαὶ
A295v δεξι|ώσεις τε καὶ φιλοτιμίαι σὺν ἀφθονίᾳ χρημάτων, πρὸς τὸν
ἀπογεγονότα παντὶ τῷ κόσμῳ καὶ πρὸ τῆς παντελοῦς λύσεως τοῦ
κάτω δεσμοῦ τε καὶ τοῦ σαρκίου; οὐ μὴν ἀλλ', εἰ καὶ τῶν κάτω τις
καὶ χαμαὶ συρομένων καὶ ὅσα περὶ τὸ σῶμα τὸν λόγον ἀποστῆσαι
θελήσας, τῷ τῆς ψυχῆς ἐνατενίσει θαυμαστῷ κάλλει καὶ ταῖς ἐντεῦ-
θεν ἀρεταῖς καὶ ταῖς πράξεσι Δημητρίου τουτονὶ προσαρμόσει, πᾶσαν
μὲν εὐσεβῆ καὶ ἀκοὴν ὁμοῦ καὶ ψυχὴν τῶν ἐκεῖθεν ἀγαθῶν καὶ τῶν
B4 κατ' αὐτῶν ἐπαίνων ἐμπλήσει, πολλοὺς δ' ἐκ τούτων τὰ κατὰ | μέρος
ἐπεξιὼν κατασκευάσει καὶ λόγους καὶ βίβλους, νῦν μὲν τὸ πρὸς θεὸν
εὐσεβὲς καὶ τὴν ὑπὲρ τούτου παρρησίαν καὶ τὸν ἀκραιφνῆ διιὼν
ζῆλον ἐκείνου, νῦν δὲ τὸ τοῦ φρονήματος ἐπιεικές τε καὶ πρᾶον καὶ
τὸ πᾶσιν ἐκ τοῦ μετρίου προσφέρεσθαι, τὸν πρὸς τὴν κοινὴν φύσιν
ἀπὸ ψυχῆς οἶκτον, τὸ συμπαθὲς πρὸς τοὺς πάσχοντας, τὸ σὺν ἀφθο-
νίᾳ καὶ ἱλαρότητι κοινωνικὸν πρὸς τοὺς δεομένους, τὴν περιφρόνησιν
τῶν γηΐνων, τὴν σπουδὴν τὴν περὶ τὰ θεῖα, τὴν τῶν λόγων ἄσκη-
A296 σιν, ὅσοι τέ φημι περὶ τοὺς ἱερούς τε καὶ ἡμετέρους | καὶ ὅσοι περὶ
τοὺς θύραθεν καὶ ὑπηρέτας ἐκείνων, *«τὸν ἔρωτα τῆς σοφίας, ἣν καὶ
ἐφίλησεν ἐκ νεότητος»*, κατὰ τὸν σοφὸν Σολομῶντα, καὶ νύμφην

35: Si, 6, 18.

3 καὶ θαυμάζειν B. 34 ὅσοι - ὅσοι: ὅση · ὅση B.

ἁγνὴν ἡρμόσατο ἑαυτῷ ὁ παρθένος καὶ ψυχὴν ὁμοῦ καὶ τὸ σῶμα καὶ τὸ μέγα καὶ ὑπερφυὲς ἐπὶ πᾶσι χρῆμα τῆς θείας ἀγάπης, *«ἥτις ἐστὶ σύνδεσμος τῆς τελειότητος»*, ἥ φησιν ὁ κλεινὸς διδάσκαλος Παῦλος· ὅθεν ἄρα καὶ τὸν ἀποστολικὸν ὁρμηθεὶς εἴπερ τις ὀξέως ἔδραμε B4v δρόμον, | *«κῆρυξ καὶ ἀπόστολος»* Χριστοῦ καὶ *«μάρτυς τῶν παθημάτων»* αὐτοῦ, κατὰ τὸν μέγαν ἐκεῖνον καὶ αὐτὸς χρηματίσας, εὐαγγελιστής τε καὶ θεολόγος τῆς Χριστοῦ θεότητος καὶ τῆς μεγάλης περὶ ἡμᾶς καὶ θαυμαστῆς οἰκονομίας ἐκείνου, ἐν οἷς καὶ τοῦ μακαρίου διὰ Χριστὸν ἔτυχε τέλους, καθάπερ εἰπὼν ἔφθην, τετρωμένος καὶ πρὸ τῆς τοῦ σώματος δῆλα δὴ σφαγῆς τῇ ἐκείνου ἀγάπῃ καὶ κατὰ τὸν μυστικὸν αὖθις λόγον «ἐκαρδίωσας ἡμᾶς, ἐκαρδίωσας» ἀνακράζων.

Ταῦτα καὶ τὰ τούτοις γε ξυγγενῆ καὶ ἀκόλουθα πολλῶν μὲν ἤρκεσε καὶ ἤδη σοφῶν τε καὶ λογοποιῶν καὶ γλώτταις καὶ λόγοις ὑπὲρ τοῦ σοφοῦ A296v φημι τούτου | πλείστοις δ' αὖ καὶ εἰς τὸ μέλλον ὡσαύτως ἀρκέσει, μέχρι τοῦ παντὸς αἰῶνος, οὐ τοῦ παρόντος φημὶ μόνον, ἀλλὰ καὶ τοῦ διαδεξομένου τοῦτον, ἀδιαδόχου πρός γε τὸ μέλλον ἐκτεινομένης τούτῳ τῆς εὐφημίας. *«Δίκαιοι γάρ»* φησιν *«εἰς τὸν αἰῶνα ζῶσιν καὶ ἐν κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ»*· καὶ | B5 ἡμεῖς γε κατὰ δύναμιν συνεροῦμεν τοῖς ἐκεῖνα λέγειν τε καὶ θαυμάζειν ἐσπουδακόσι, τόν τε πόθον ὁμοῦ καὶ δὴ καὶ τὸ χρέος ἐκ τῶν ἐνόντων ἀποτιννύντες, τοῦ μεγάλου δηλαδὴ τούτου συναιρομένου. Ὃ δὲ μάλιστ' ἔχω τῶν ἄλλων ἐγὼ θαυμάσας, ἅτε δὴ καὶ κορυφαῖον καὶ κράτιστον πεφυκὸς τῶν ἀγαθῶν τῶν ἐκείνου καὶ ὃ πρὸ τῶν ἄλλων καὶ Χριστοῦ μαθητὴν καὶ ζηλωτὴν καὶ μιμητὴν ἀκριβῶς ἀνέδειξε τοῦτον, τοῦτο νῦν καθ' ὅσον οἷόν τε δώσω τῷ λόγῳ. Διὸ καὶ τὸν νοῦν ἄξιον ἤδη προσέχειν.

2. Φρόνημα μὲν οὖν πρὸς θεὸν εὐσεβὲς καὶ δογμάτων ἀκρίβειαν θείων καὶ τὸ τὰς ὑπολήψεις ὀρθάς τε καὶ ἀπταίστους περὶ τούτων κεκτῆσθαι καὶ πρὸς τούτοις σωφροσύνην τε καὶ δικαιοσύνην καὶ τὸ A297 τὴν λοιπὴν ἀσκεῖν | ἐπιμέλειαν καθ' ἑκάστην τοῦ βίου οὐκ ἔστιν οὐδεὶς οὔκουν τῆς ἡμετέρας αὐλῆς καὶ τοῦ συλλόγου τῶν εὐσεβούντων, ὥς γε ἐγὼ νομίζω, ὃς οὐ μετὰ πολλῆς ἀπαιτεῖται τῆς ἀκριβείας, ὡς μηδ' ἂν ἀληθῶς εἶναί τε καὶ νομίζεσθαι Χριστοῦ καὶ τοῦ κατ' αὐτὸν ἱεροῦ | B5v συνεδρίου τὸν μὴ ταύτην τρέχοντα καθ' ἑκάστην καὶ τοῦτον εἰσιόντα προθύμως τὸν ἆθλον καὶ μὴ μᾶλλον θαυμάζεσθαι παρὰ θεοῦ καὶ

---

2 : Col. 3,14. 5 : Tim. 2,7 et 1 Pet. 5,1.

---

1 ἁγνὴν: om. B (sed αὐτὴν in rasura). 11 μυστικὸν λόγον αὖθις sed deinde cor. A. 31 οὐκοῦν B.

τῆς ἐκεῖθεν διαγνώμης τε καὶ νομοθεσίας, τὸν ἐν τούτοις ὄντα καὶ ζῶντα καθάπερ οὐδὲ τοὺς ὀφειλὴν ἀπαραίτητον τοῖς δανεισταῖς ἐκτιννύντας· ὃ γὰρ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν, μετ' ἐκεῖνα δεῖν λέγειν αἱ δεσποτικαί φασιν ὑποθῆκαι, ὅσῳ διαβάλλεσθαι καὶ μισεῖσθαι τοὺς τὴν ἐναντίαν ἰόντας καὶ μηδὲ τὴν κλῆσιν μηδὲ τὸ πρόσρημα τὸ ἀπὸ Χριστοῦ γοῦν αἰδουμένους· τὸ δέ γε πρὸς τοῖς εἰρημένοις ἐκείνοις καὶ τὴν ἄλλην ἅπασαν ἀρετήν, ὅση τε τῆς θεωρίας καὶ ὅση τῆς πράξεως, νύκτωρ τε καὶ μεθ' ἡμέραν ἀσκοῦντα σπουδαίως ἔπειτα A297v μηδὲ σιγὴν ἄγειν ἐθέλειν, μηδὲ κατέχειν | ἑαυτὸν μηδ' ἐνταῦθα τὴν σωτηρίαν ὁρίζειν, μηδὲ τὸ ἑαυτοῦ ζητεῖν, *«ἀλλὰ καὶ τὸ τῶν πολλῶν, ὅπως σωθῶσι»*, κατὰ τὸν θαυμαστὸν Παῦλον, καὶ μάλιστα τῶν τυράννων οὕτω γε σφοδρῶν καὶ πανταχόθεν ἐπικειμένων καὶ τοῦ διωγμοῦ πυρὸς δίκην φοβερόν τι καὶ ἀνύποιστον βρέμοντος καὶ τῶν δημίων B6 πῦρ | ἄντικρυς καὶ αὐτῶν ὡσαύτως πνεόντων καὶ μόνον οὐ κατὰ κεφαλῆς ἐπιόντων πᾶσι τοῖς εὐσεβεῖν βουλομένοις, μᾶλλον δὲ καὶ πυρὸς καὶ μαχαίρας καὶ κολάσεων παντοδαπῶν ποιουμένους ἔργον τὸ καθ' ἡμέραν τοὺς ἐκείνοις πρὸς γνῶσιν ἰόντας ὧν, ὡς οὐδένων πάντων καὶ μηδὲν πρὸς αὐτὸν καὶ τὸν ὑπὲρ τῶν ὁμοφύλων αὐτοῦ πεφηνότων ζῆλον, θαυμαστῶς ὑπερφρονῶν ἦν ὁ γεννάδας, οὐκ αὐτὸς *«ἀνάθεμα προθυμούμενος εἶναι ἀπὸ Χριστοῦ»*, κατὰ Παῦλόν φημι τὸν μέγαν, ὑπὲρ τῶν ἀδελφῶν τῶν ἰδίων, ἀλλὰ καὶ συναφθῆναι μᾶλλον διὰ τούτων αὐτῶν καὶ τῆς ὑπὲρ αὐτῶν σπουδῆς καὶ τοῦ κηρύγματος τοῦ Εὐαγγελίου καὶ τῷ ἐγγίζοντι θεῷ καθαρώτερον προσεγγίσαι, A298 θῦμα καὶ σφά|γιον καινὸν ἑαυτὸν ἐθελοντὴς προσαγαγὼν ἐκείνῳ διὰ τοῦ μαρτυρίου, τοῦτ' ἂν εἴη τὸ τῆς ἀγάπης Χριστοῦ καινὸν δῆλα δὴ καὶ οὐκ ἄλλο, ὃ δὴ καὶ τὰς ἐπιτελευτίους οἱονεὶ διαθήκας πρὶν γράφων ἐνομοθέτει τοῖς ἀποστόλοις, *«ἐντολὴν καινὴν δίδωμι* B6v *ὑμῖν»* λέγων *«ἵνα ἀγαπᾶτε ἀλλήλους | καθὼς ἠγάπησα ὑμᾶς»* καὶ αὖθις *«μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα θῇ τις τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν φίλων αὐτοῦ»*.

3. Ταῦτ' ἐκεῖθεν σὺ κατὰ διαδοχὴν ὡς πατρικόν τε καὶ ὑπέρτιμον κλῆρον καὶ θησαυρὸν ἐν τοῖς ὠσὶ τῆς ψυχῆς, Δημήτριε, δεδεγμένος καὶ τούτοις παιδόθεν ἱκανῶς ἐντραφείς τε καὶ μελετήσας, μέγας τις καὶ γενναῖος τῷ ὄντι καὶ ὑπερφυὴς ἀνεφάνης, εἴπερ τις ἐν τῷ τοῦ καιροῦ παραστάντι, τήν τε ψυχὴν κατὰ τοὺς θείους χρησμοὺς θεὶς ὑπὲρ τῶν φίλων εὖ μάλα γενναίως καὶ τὸν γνήσιον μαθητὴν κατὰ τὰς ἐκεῖθεν αὖθις ἐντολὰς προσφυῶς ἐν σεαυτῷ δείξας ἐντεῦθεν. *«Ἐν τούτῳ»* καὶ γάρ φησι *«γνώσονται πάντες ὅτι ἐμοὶ μαθηταί*

---

10: Cor. 10,33. 20: Rom. 9,3 27: Joh. 13,34. 29: Joh. 15,13. 38: Joh. 13,35.

*ἐστε, ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις».* 'Αλλὰ καλὸν ἂν εἴη λοιπὸν
τοὺς εὐαγγελικοὺς ἐκείνους καὶ δεσποτικοὺς θησαυροὺς καὶ τοὺς
A298v κλήρους | εἰς μέσον προθεῖναι τῷ λόγῳ, κἀντεῦθεν τῷ τε μάρτυρι
μᾶλλον κατάλληλον πλέξαι τὴν εὐφημίαν, τὸν μαθητὴν δῆλα δὴ τοῖς
λόγοις προσειπόντας τοῦ διδασκάλου καὶ οἷς ἐκεῖνος μᾶλλον ὡρμήθη
B7 πρὸς τηλικούτους ἀγῶνας καὶ ἀθλητὴν καὶ νικητὴν | καὶ στεφανίτην
λαμπρὸν κατὰ μίμησιν ἑαυτὸν εἴργαστο τὴν ἐκείνου, καὶ ἡμᾶς αὖθις
καὶ συγκληρονόμους ὁμοῦ καὶ συμμεριστὰς ἐργάσασθαι, καθ' ὅσον
οἷόν τε τοῦ πατρικοῦ πλούτου καὶ τῆς θαυμαστῆς περιουσίας ἐκείνης·
κοινοὶ καὶ γὰρ οἱ δεσποτικοὶ καὶ πατρικοὶ κλῆροι καὶ ὁ ἀνώλεθρος
καὶ ὁ ὑπερφυὴς οὑτοσὶ θησαυρός τε καὶ πλοῦτος τοῖς τῆς αὐτῆς
υἱοθεσίας καὶ συγγενείας διὰ λουτροῦ παλιγγενεσίας ἠξιωμένοις.
*«Ταῦτα ἐντέλλομαι ὑμῖν»* φησιν *«ἵνα ἀγαπᾶτε ἀλλήλους· εἰ ὁ κόσμος
ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκε».* Τὴν ἠθικὴν
ἀρετὴν τοὺς ἰδίους μαθητὰς ἄνωθεν κἀξ αὐτῆς γε τῆς κλήσεως ὁ
Χριστὸς διὰ παντὸς τοῦ Εὐαγγελίου διδάσκων καὶ ταῖς κατὰ μέρος
ἐντολαῖς κατὰ μικρὸν εἰς τὸ τέλειον τῆς ἀγάπης ἐνάγων *«ἐγὼ γάρ»*
φησι *«λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ, ἀλλ' ὅστις σε ῥαπίσει
A299 ἐπὶ τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην καὶ | τῷ θέ-
λοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν, ἄφες αὐτῷ καὶ τὸ
B7v ἱμάτιον καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν, ὕπαγε μετ' αὐτοῦ | δύο»*,
καὶ αὖθις, *«ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν· καλῶς ποιεῖτε τοῖς μισοῦ-
σιν ὑμᾶς, εὔχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων καὶ διωκόντων ὑμᾶς»*
καὶ τὰ παραπλήσια τούτοις· ἐπεὶ καὶ ὁ σταυρὸς ἤδη καὶ ὁ ζωηφόρος
αὐτοῦ θάνατος ἐπὶ θύραις ἦν καὶ τοὺς θαυμαστοὺς λόγους ἐκείνους
καὶ τὰς διδασκαλίας πρός γε τὸ παρὸν τέως ἔμελλε καταπαύειν καὶ
τοῖς πράγμασιν ἐπισφραγίζειν, ὥσπερ τοὺς λόγους, τὴν κορωνίδα
τῶν ἀγαθῶν, τὸ ξυμπάσης τῆς θείας ἀρετῆς κεφάλαιον ἢ συμπέρασμα
ἧς ἐξήρτηνται, κατὰ τὸν αὐτοῦ λόγον, *«ἅπας ὁ νόμος καὶ οἱ προφῆται»*,
τὴν εἰς αὐτόν φημι καὶ τὴν εἰς ἀλλήλους ἀγάπην καινότερόν τε καὶ
ὑψηλότερον ἐκδιδάσκει καὶ τὴν περὶ τοῦ πνεύματος, μᾶλλον δὲ καὶ
τὴν περὶ αὐτοῦ τε καὶ τοῦ πατρὸς διὰ τοῦ αὐτοῦ πνεύματος τρανό-
τερον συνεισάγων θεολογίαν· τοῖς γὰρ τὸ τέλειον ἐφθακόσι τῆς τε-
λείας ἀγάπης ταυτησὶ μέτρον καὶ τὸ θεολογεῖν ὡς τὰ μάλιστά γε
προσήκειν, οἱ πρὸς τὴν ἀποστολικὴν ἀνελθόντες τελειότητά φασιν

---

13: Joh. 15,17-18. 18: Math. 5,39-42 22: Math. 5,44. 29: Math. 22,40.

---

**7 ἡμᾶς: ὑμᾶς B. 22-23 μισοῦσιν ἡμᾶς A. 24-25 καὶ ὁ ζωηφόρος αὐτοῦ θάνατος: καὶ ὁ ζωῆς αἰτιώτατος αὐτοῦ θάνατος B. 34 ὡς: εἰς B.**

[A299v B8] ἱεροὶ θεοφόροι καὶ θεο|λόγοι· πλεῖστα τοιγαροῦν ἀνω|τέρω καὶ μέγιστα περὶ ἀγάπης εἰπὼν καὶ διδάξας, *«ἐντολὴν»* καὶ γάρ φησι *«καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς»* καὶ *«αὕτη ἐστὶν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς»*. Ταῦτα τοίνυν εἰπών, ἐπεὶ καὶ τὸν περὶ μαρτυρίου συνάπτειν τούτοις ἐφεξῆς ἔμελλε λόγον καὶ τῶν ὑπὲρ αὐτοῦ κινδύνων καὶ διωγμῶν, ἀνακεφαλαιούμενος ὡσανεὶ τὰ προρρηθέντα καὶ τέλος ἐπιτιθείς, *«ταῦτα»* φησὶν *«ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους»*, ὡς ἐντεῦθεν καὶ τῆς ἀγάπης συνισταμένης ἀριδήλως τῆς πρὸς αὐτὸν ἢ ταύτης ἠρτημένης μᾶλλον ἐκείνης, θατέρᾳ τῆς ἑτέρας, ὥσπερ ξυμπεφυκυίας ὡς καὶ μίαν ἀμφοτέρας εἶναι δοκεῖν· *«ὁ ἀγαπῶν με»* καὶ γάρ φησι *«τὰς ἐντολάς μου τηρήσει· αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ ἐμή, ἵνα ἀγα-* [A300] *πᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς»*. | Διὸ καὶ Ἰωάννης, ὁ τῆς [B8v] ἐντολῆς ταυτησὶ καὶ | φίλος καὶ διδάσκαλος ὄντως μετὰ Χριστόν, *«ταύτην τὴν ἐντολήν»* φησιν *«ἔχομεν ἐξ αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ»*. Ὁ γὰρ τὸν θεὸν λέγων ἀγαπᾶν καὶ μισῶν τὸν ἀδελφὸν αὐτοῦ, ψεύστης ἐστίν· εἰ δὲ ὑμεῖς μέν, φησί, κατὰ τὴν ἐμὴν ἐντολὴν ἀλλήλων ἐξέχεσθε καὶ ἀλλήλους ἀγαπᾶτε, ὁ δὲ κόσμος ὑμᾶς μισεῖ (τοὺς τὰ τοῦ κόσμου φρονοῦντας καὶ σάρκα καὶ γῆν οἱονεὶ πεφηνότας κόσμον ἀποκαλῶν ἐνταῦθα), οὐ διὰ τοῦτο ταράττεσθαι χρὴ καὶ ἀποπηδᾶν· *«γινώσκετε γάρ»* φησιν *«ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκε»*, τῶν κατ' αὐτοῦ βλασφημιῶν καὶ τῶν μακρῶν ἐκείνων τῶν Ἰουδαίων ἀναμιμνήσκων ὕβρεων, Σαμαρείτην ἀποκαλούντων καὶ δαιμονῶντα καὶ πλάνον καὶ στασιαστὴν καὶ ἀντίθεον καὶ ὅσα ἑξῆς καὶ τῷ καθ' ἑαυτὸν ὑποδείγματι καὶ τὸν πόνον ἐπικουφίζων καὶ σεμνούς τινας καὶ μεγάλους ἀποδεικνὺς καὶ τοὺς μισθοὺς ἐντεῦθεν καὶ τὰς ἀμοιβὰς αὔξων αὐτοῖς. Εἶτα καὶ δεύτερον λογισμὸν ἐπιφέρει κἀντεῦθεν τὴν τιμὴν θαυμασίως αὐτοῖς ἐπιτείνων καὶ ὥσπερ [A300v] ἐξ ἀνάγκης τῷ κατ' αὐτοὺς ἑπόμενον πράγματι, τὸ μῖσος τὸ | ἐκείνων [B9] ἀποδεικνύς· *«εἰ ἐκ* | *τοῦ κόσμου»* γάρ φησιν *«ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος»*. Καίτοι γε καὶ ἐκ τοῦ κόσμου ἦσαν, ἄνθρωποι πεφυκότες καὶ τῆς κοινῆς ταυτησὶ φύσεως. Πῶς οὖν λέγει ὅτι *«ἐκ τοῦ κόσμου οὐκ ἐστέ»*; Ὁρᾷς ὅτι κόσμον κἀνταῦθα οὐ τὸ τῆς γῆς ἁπλῶς φησι πλήρωμα καὶ τὴν φύσιν τὴν

---

2: Joh. 13,34. 4: Joh. 15,12. 8: Joh. 15,17. 11: Joh. 14,15. 15: 1 Joh. 4,21. 21: Joh. 15,18. 30: Joh. 15,19.

---

10 καὶ θατέρα B.

ἀνθρωπείαν, ἀλλὰ τοὺς τὰ γήϊνα καὶ χαμερπῆ φρονοῦντας, καθάπερ
ἔφην, καὶ μηδὲν μηδοτιοῦν ἐννοοῦντας ὑψηλότερον καὶ πνευματικόν·
*«εἰ ἐκ τοῦ κόσμου»* φησὶν *«ἦτε»*, τὰ κάτω δηλονότι φρονοῦντες καὶ δου-
λεύοντες τῇ σαρκί, εἰ τὰ αὐτὰ φρονοῦντες καὶ χρήμασιν ὑποκείμενοι
καὶ δόλῳ καὶ ἁρπαγῇ καὶ πλεονεξίᾳ καὶ θεὸν ἡγούμενοι τὴν κοιλίαν
καὶ γαστρὶ καὶ τοῖς ὑπὸ γαστέρα καὶ τῷ τοιούτῳ συμφυρόμενοι τῶν
κακῶν συρφετῷ, ὡς οἰκείους ἂν ὁμοῦ πάντες ὑμᾶς ἐφίλουν, τῷ ξυγ-
γενεῖ καὶ οἰκείῳ κατὰ φύσιν ἕκαστος δήπου προσκείμενοι· ὅτι δὲ ἐκ
τοῦ κόσμου οὐκ ἐστέ, τῶν τὰ προειρημένα σαρκικῶς δηλονότι καὶ
.301 B9v γηΐνως φρονούντων, ὅπερ καὶ προϊὼν | ὑπὲρ | αὐτῶν πρὸς τὸν ἑαυτοῦ
πατέρα φησίν, ἐκ τοῦ κόσμου οὐκ εἰσι, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου
οὐκ εἰμι· ὅτι γοῦν ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς
ἐκ τοῦ κόσμου, τῆς ἀνθρωπείας φημὶ καὶ κοινῆς φύσεως, ἐξ ἧς ὡς
ἄνθρωποι καὶ αὐτοὶ κατὰ φύσιν δήπου γεγένησθε, διὰ τοῦτο μισεῖ
ὑμᾶς ὁ κόσμος, οἱ προρρηθέντες δηλαδὴ σαρκικοὶ καὶ γεώδεις, οἱ μὴ
τὰ ἄνω φρονοῦντες μηδοπωσοῦν, μηδὲ τὸ πολίτευμα καθ' ὑμᾶς ἐν
οὐρανοῖς κεκτημένοι· *«μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν, οὐκ
ἔστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ»*, συνεχῶς ἀναμιμνήσκει τοὺς
μαθητὰς ὁ Χριστὸς τῆς τε σφετέρας αὐτοῦ κατὰ φύσιν δεσποτείας τε
καὶ θεότητος καὶ τῆς κατὰ φύσιν δουλείας αὐτῶν καὶ τῆς εὐτελείας
προθυμοτέρους περὶ τοὺς ἀγῶνας κἀντεῦθεν αὐτοὺς ἐργαζόμενος καὶ
δεικνύς, ὡς οὐδὲν φορτικὸν οὐδὲ μέγα δούλῳ τὸ τὰ αὐτὰ τῷ δεσπότῃ
παθεῖν. Ὃ γοῦν μετὰ τὸν δεῖπνον καὶ τὸν νιπτῆρα πρὸ βραχέος ἔλεγε
πρὸς αὐτούς, *«εἰ ἐγὼ ὁ κύριος καὶ ὁ διδάσκαλος ἔνιψα ὑμῶν τοὺς
πόδας, ὀφείλετε καὶ ὑμεῖς ἀλλήλων νίπτειν τοὺς πόδας»*. *«Οὐδὲ γὰρ*
:10 *ἔστι»* φησὶ *«δοῦλος μείζων τοῦ κυρίου* | *αὐτοῦ, οὐδὲ ἀπόστολος* |
.301v *μείζων τοῦ πέμψαντος αὐτόν»*· τοῦτο κἀνταῦθα φησὶν ὡσαύτως,
*«μνημονεύετε»* λέγων *«τοῦ λόγου οὗ εἶπον ὑμῖν, οὐκ ἔστιν δοῦλος
μείζων τοῦ κυρίου αὐτοῦ»*. *«Εἰ γὰρ ἐμέ»* φησιν *«ἐδίωξαν, καὶ ὑμᾶς
διώξουσιν»*· εἰ ἐμὲ τὸν δεσπότην ἐδίωξαν, πῶς οὐχὶ καὶ τοὺς δούλους
ὑμᾶς; *«εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἀπεκάλεσαν, πόσῳ μᾶλλον τοὺς
οἰκειακοὺς αὐτοῦ· εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρή-
σουσι»*. Τοῖς γοῦν αὐτοῦ λόγοις ἀντιλέγοντες πανταχοῦ οἱ ἀπειθεῖς καὶ
ἀπαίδευτοι Ἰουδαῖοι, νῦν μὲν πρὸς ἀλλήλους ἔλεγον: *«δαιμόνιον ἔχει*

17: Joh. 15, 20. 24: Joh. 13, 14. 25: Joh. 13, 16. 28: Joh. 15, 20. 31: Math. 10, 25. 34: Joh. 10, 20.

3 καὶ δουλεύοντες—4 φρονοῦντες om. B. 28 οὗ ἐγὼ εἶπον B. 33-34 καὶ ἀπαίδευτοι: καὶ in mrg. B.

*καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε;»* νῦν δέ, *«οὐχ οὗτός ἐστιν ὁ υἱὸς Ἰωσήφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα καὶ τὴν μητέρα; πῶς οὖν λέγει ὅτι ἐκ τοῦ οὐρανοῦ καταβέβηκα»*; καὶ *«πῶς δύναται δοῦναι ἡμῖν οὗτος τὴν σάρκα φαγεῖν»*· πρὸς δὲ τὸν Χριστὸν αὐτὸν αὖθις *«πεντήκοντα ἔτη οὔπω ἔχεις καὶ Ἀβραὰμ ἑώρακας»*. καὶ *«νῦν ἐγνώκαμεν ἀληθῶς ὅτι δαιμόνιον ἔχεις»* καὶ πάλιν, *«ὁ πατὴρ ἡμῶν Ἀβρα|*[B10v]*άμ ἐστι καὶ ἡμεῖς ἐκ πορνείας οὐ γεγεννήμεθα· ἕνα πατέρα ἔχομεν, τὸν θεόν»*, καὶ ὅσα τοιαῦτα· οὐδὲν οὖν καινόν φησιν, οὐδὲ τοῦ κατ' ἐκείνους πράγματος πόρρω που καὶ τῆς διαγνώμης, εἰ τὸν | [A302] ὑμέτερον ὑπὲρ ἐμοῦ λόγον ἀθετήσουσι καὶ τὸ κήρυγμα, οἵτινες αὐτὸν ἐμὲ καὶ τοὺς ἐμοὺς λόγους οὕτω σπουδαίως καὶ μετὰ παντὸς τοῦ τῆς ψυχῆς ὡρμηκότος ἀπεκρούσαντο, καθ' ἃ καὶ ὑμεῖς ἴστε. *«Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με»*· ἀγνοοῦσι, φησίν, ἑκόντες υἱὸν ὄντα με τοῦ θεοῦ καὶ κατ' εὐδοκίαν ἐληλυθότα τὴν πατρικὴν εἰς τὸ σῶσαι τὸν κόσμον καὶ διὰ τοῦτο τὰ προειρημένα ποιήσουσιν ὑμῖν πάντα τῷ ἐμῷ δυσχεραίνοντες ὀνόματι καὶ μὴ πιστεύοντες μηδὲ ἀνεχόμενοι κατὰ φύσιν υἱόν με ἀκούειν θεοῦ, *«ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με»* πατέρα δηλονότι μονογενοῦς καὶ ὁμοτίμου υἱοῦ πεφυκότα. Εἰ γὰρ καὶ θεὸν αὐτὸν γινώσκουσιν, ὥς φασι, καὶ τῶν κτισμάτων πατέρα, ἕνα καὶ γὰρ ἔχομεν πατέρα τὸν θεόν, πρὸ βραχέος ἔλεγον· ἀλλὰ τοῦτό γε μόνον οὐκ ἀρκεῖ πρὸς τὴν ὁλόκληρον πίστιν καὶ τὴν ὁμολογίαν ἐκείνου, | [B11] ἀλλὰ δεῖ καὶ πατέρα μονογενοῦς υἱοῦ πρὸς τούτῳ πιστεύειν αὐτόν, ὅστις αὐτὸς ἐγώ εἰμι ὡς καὶ τὰ ἔργα προσμαρτυρεῖ μοι καὶ αὐτὸς ἐκεῖνος ὁ πέμψας με πατήρ, ὅνπερ, εἰδέναι φάσκοντες, οὐκ ἴσασιν, καθάπερ ἔφθην | [A302v] εἰπών· ὁ γὰρ μὴ τιμῶν τὸν υἱόν, οὐ τιμᾷ τὸν πατέρα τὸν πέμψαντα αὐτόν· ὡς γὰρ οὐκ ἔστι πατέρα λέγοντα καὶ τὸ πρόσρημα τουτὶ στέργοντα μὴ καὶ υἱὸν λέγειν τε καὶ στέργειν ὡσαύτως, υἱοῦ γάρ ἐστιν ἐξ ἀνάγκης πατὴρ ὁ πατήρ, οὕτως οὐκ ἔστιν αὖθις ἐκ τοῦ ἐναντίου, τὸν μὴ πατέρα λέγοντα μηδὲ τιμῶντα τῆς τοῦ υἱοῦ προσηγορίας γοῦν ἀνασχέσθαι ποτέ· οὗτοι τοιγαροῦν, ἐπεί, καθάπερ εἶπον, οὐκ οἴδασι τὸν πέμψαντά με πατέρα, διὰ τοῦτο καὶ τὸ τοῦ υἱοῦ οὐκ ἐπιγινώσκουσιν ὄνομα, ἀλλὰ καὶ δυσχεραίνουσι καὶ ἀποδυσπετοῦσι πρὸς τὸν λόγον καὶ διὰ τοῦτο πάντ' ἐκεῖνα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου τουτί, φημί, ἐπειδή γε οὐκ ἴσασι τὸν πατέρα, τὸν ἐμὲ τὸν υἱὸν ἀποστεί-

1: Joh. 6, 42. 3: Joh. 6, 52. 4: Joh. 8, 57. 5: Joh. 8, 52 et 39-41. 12: Joh. 15, 21.

23 πρὸ τούτου γινώσκειν B.

λαντα, καθὰ πολλάκις ἔφθην εἰπών· ὅρα δὲ καὶ πόσαις ἀνάγκαις τὸ
πρᾶγμα συνίστησι καὶ ἀναγκαῖον καὶ ἔνδοξον καὶ ὀφειλόμενον ὁμοῦ
311v καὶ συμ|φέρον αὐτὸ δεικνύς· εἰπὼν μὲν γὰρ ὅτι, *«εἰ ἐκ τοῦ κόσμου
ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει, ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ'
ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος»*,
ἐξ ἀναγκαίου τὸ παρὰ τῶν ἀνοσίων μῖσος ἑπόμενον παρέστησε τοῖς
A303 ὁσίοις, τὸ δὲ ἔνδοξον ὁμοῦ | καὶ συμφέρον ἐδήλωσεν, *«εἰ ἐμὲ ἐδίωξαν,
καὶ ὑμᾶς διώξουσι»* φήσας· τί γὰρ ἴσον εἰς δόξης καὶ ἀξιώματος
λόγον γένοιτ' ἂν τοῦ συνδιώκεσθαι καὶ συμπάσχειν καὶ συναποθνή-
σκειν Χριστῷ; τίνες δὲ καὶ μισθοὶ καὶ ἀμοιβαὶ κείσονται τοῖς δια-
θλοῦσι ταυτὶ ἢ δῆλον τὸ καὶ συνδοξασθῆναι, ᾧπερ δὲ καὶ συμπά-
σχουσιν; *«εἰ γὰρ συμπάσχομέν»* φησι Παῦλος, ὁ διαφερόντως ταῦτα
παθών, *«ἀλλὰ καὶ συνδοξασθησόμεθα»*· καὶ ὀφειλόμενον δὲ τοῦτο
παρὰ τῶν μαθητῶν τῶν ἰδίων πρὸς τοῖς εἰρημένοις αὖθις δεικνύων
αὐτῷ, *«ταῦτα πάντα ποιήσουσιν ὑμῖν»* φησι *«διὰ τὸ ὄνομά μου»* καὶ
ποῦ τις ἄν τι τῶν πάντων ἴδοι καὶ ἀναγκαῖόν τε καὶ συμφέρον καὶ
δόξης γε τῆς ἀνωτάτω καὶ πρώτης πρόξενον καὶ πάνθ' ὁμοῦ τὰ τοι-
αῦτα, ὡς τὸ παθεῖν τε καὶ ἀποθανεῖν ἑκουσίως ὑπὲρ Χριστοῦ καὶ
312 τὸν ὑπὲρ ἡμῶν ἑκούσιον ἐκείνου κατὰ δύναμιν | μιμήσασθαι θάνατον;
πῶς δ' ἄν τις καὶ τὴν ψυχὴν ὑπὲρ αὐτοῦ δεδωκώς, τὴν ὀφειλὴν ἐκεί-
νην ἐκτίσας καὶ τὸν δεσποτικὸν ὑπὲρ ἡμῶν ἀμείψαιτο θάνατον; οὐδὲ
γὰρ ἴσον αἷμα δεσπότου καὶ δούλων, φησί, οὐδ' ἐγγύς· ὁ δὲ Χριστὸς
A303v ἐπαίρων καὶ ἔτι τὸ πρᾶγμα καὶ τὸ θαυμαστόν τε καὶ | ὑψηλὸν τοῦτο
δεικνὺς καὶ τὸν πατέρα τὸν ἴδιον ἑαυτῷ συνεισάγει, οὐχ ὑπὲρ αὐτοῦ
μόνον, ἀλλὰ καὶ ὑπὲρ τοῦ πατρὸς προλέγων αὐτοὺς τὰ δεινὰ πείσε-
σθαι· *«ταῦτα γάρ»* φησι *«πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου,
ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με· εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς,
ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας
αὐτῶν»*· καὶ πῶς οὐκ εἶχον ἁμαρτίαν, εἰ μὴ αὐτὸς ἦλθε καὶ ἐλάλησεν
αὐτοῖς; καίτοι γε καὶ νόμον ἔδωκεν αὐτοῖς τὸν γραπτὸν διὰ Μωσέως,
σημείοις ὑπερφυέσι καὶ τέρασιν αὐτὸν πιστωσάμενος καὶ προφήτας
πολλούς τε καὶ μεγάλους ἀπέστειλε κατὰ γενεὰς καὶ πρὸ τούτων τὸν
312v φυσικὸν ἐνέθηκε νόμον, διδάσκαλον ἀψευδῆ τοῦ πρακτέου, | ὧν ὁμοῦ
πάντων ἐκεῖνοι καταφρονηταὶ καὶ παραβάται γεγόνασι. Πῶς οὖν οὐκ
εἶχον, φησίν, ἁμαρτίαν; οὐκ εἶχον ἁμαρτίαν τοσαύτην, δηλονότι,

---

7 : Joh. 15, 20. 12 : Rom. 8, 17. 15 : Joh. 15, 21 26 : Joh. 15, 22.

---

16 καὶ ποῦ τις - τῶν πάντων ἂν ἴδοι τι B. 19 ἐκμιμήσασθαι B. 23 τούτου B.

ὅσην ἕξουσι νῦν, μετὰ τὴν ἐμὴν παρουσίαν καὶ τὰ ὑπὲρ φύσιν ἔργα καὶ τὴν διδασκαλίαν· εἶχον μὲν γὰρ καὶ πρότερον δι' ἐκεῖνα, ἀλλ' οὐ τοιαύτην· τὸ γὰρ τῶν δωρεῶν μέγεθος τοῖς καταφρονηταῖς αὔξει τὰς
A304 τιμωρίας, ὡς καὶ αὐτὸς | ὁ Χριστός φησι, «*οὐαί σοι Χοραζὶν*» λέγων «*οὐαί σοι Βηθσαϊδά, ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, πάλαι ἂν ἐν σάκκῳ καὶ σποδῷ καθήμεναι μετενόησαν· πλὴν λέγω ὑμῖν Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως ἢ ὑμῖν*», ὡς κἀκείνων μὲν κολασθησομένων διὰ τὴν τῶν προφητῶν καὶ τοῦ νόμου παράβασιν, ὅπερ ἔφην, ἔλαττον μέντοι πολλῷ καὶ μετριώτερον τούτων, τῶν μηδ' αὐτῷ τῷ δεσπότῃ τοῦ νόμου δι' ἑαυτοῦ παραγεγονότι καὶ διδάξαντι πεισθέντων· ἢ τοῦτο γοῦν φησιν ἢ ἁμαρτίαν εἰδικῶς ἐνταῦθα καλεῖ τὸν κατ' αὐτοῦ καὶ τῶν μαθητῶν αὐτοῦ πόλεμον ἐκείνων καὶ τὴν χριστοκτονίαν, ὑπὲρ ἧς οὐδὲ πρόφασιν, φησίν, ἔχουσιν, οὐδὲ τὴν δίκην διαφυγεῖν δυνήσονται καὶ παρὰ προφητῶν ἄνωθεν τὸ κατ' ἐμὲ διδαχθέντες καὶ παρ' ἐμοῦ δὲ αὐτοῦ καὶ τῶν ἐμῶν ἔργων τρανότερόν τε καὶ ὑψηλότερον, εἴ γε
B13 μαθεῖν ἐβού|λοντο. «*Εἰ τὰ ἔργα μὴ ἐποίησα*» γάρ φησιν «*ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ καὶ ἑωράκασι*
A304v *καὶ μεμισήκασι καὶ ἐμὲ καὶ τὸν πατέρα μου*» | ἐπεὶ γάρ, ὡς προεῖπον, «*ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι*» καὶ «*ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα*»· μία καὶ γὰρ ἀμφοτέροις καὶ θεότης καὶ βούλησις καὶ δύναμις ὁμοῦ καὶ ἐνέργεια· ὁ ἑωρακὼς ἐμὲ καὶ τὸν πατέρα ἑώρακεν ἐν ἐμοὶ καὶ ὁ μεμισηκὼς ἐμὲ κατ' αὐτοὺς τούτους καὶ τὸν πατέρα μεμίσηκε δι' ἐμοῦ· ἐξελέγχει δ' ἐκείνους ἐν ταυτῷ καὶ ψευδομένους ὁ Χριστός, ἐν τῷ λέγειν αὐτὸν οὐκ ὄντα ἐκ τοῦ θεοῦ, ὅτι τὸ Σάββατον οὐ τηρεῖ· οὔτε γὰρ τὸν πέμψαντά με, φησίν, οἴδασιν οἱ ὑπὲρ τῶν ἐκείνου νόμων ἀντιπίπτειν μοι προσποιούμενοι καὶ διὰ τοῦτο τῷ ἐμῷ δυσχεραίνουσιν ὀνόματι καὶ ὁρῶντες αὐτὸν αὖθις ἐν ἐμοί, διὰ τῆς κοινῆς ἀμφοτέρων ἐνεργείας καὶ τῶν θεοπρεπῶν ἔργων ἐκλάμποντα, κἀκεῖνον μισοῦσι σὺν ἐμοὶ δι' ἀλλήλων ἀμφοτέροις ἡμῖν ἀντεπεξιόντες καὶ ἀθέως καὶ ἀσεβῶς τὸν πατέρα τῷ υἱῷ συνελαύνοντες· οὐδὲ γάρ, ὡς καὶ αὐτοί γέ φασιν οὗτοι, δι' ἕτερόν τι παρ' αὐτῶν ἐλαύνομαι καὶ μισοῦμαι ἢ διὰ τὸ υἱὸν ἐμαυτὸν ἀναγορεύειν
B13v θεοῦ· περὶ καλοῦ γὰρ | ἔργου φασὶν οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας καὶ ὅτι ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν υἱὸν θεοῦ· οἱ γοῦν |
A305 οὕτω τὸν υἱὸν καθ' ὑπερβολὴν μισοῦντες καὶ μηδ' ἀκούειν ἀνεχόμενοι

4: Math. 11, 21. 17: Joh. 15, 24. 20: Joh. 14, 10. 20: Joh. 18, 9.

1 ἕξουσι: ἔχουσιν B. 12 εἰδικῶς: ἰδικῶς AB. |35 υἱὸν θεοῦ: θεὸν B.

τοὔνομα, πῶς οὐ καὶ τὸν πατέρα δι' ἐμοῦ τε καὶ σὺν ἐμοὶ μισοῦσιν
ὡσαύτως καὶ συνελαύνουσι; τοῦ γὰρ κατὰ φύσιν υἱοῦ κατ' ἐκείνους
ἐκβαλλομένου, πῶς ἂν ὁ κατὰ φύσιν μένῃ πατήρ; υἱοῦ γὰρ πάντως
ἔστι πατὴρ ὁ πατήρ· ἐκείνου δ' ἀναιρουμένου, πατὴρ οὐκ ἂν εἴη ποτέ·
τίνος γὰρ καὶ ἔσται; ὥστε δι' ἀλλήλων, ὅπερ ἔφην, καὶ διώκουσι
καὶ ἀναιροῦσιν, ὅσον τὸ κατ' αὐτούς, ἀμφοτέρους· ταῦτα πρὸς τοὺς
ἀποστόλους περὶ τῶν διωκτῶν εἰπὼν καὶ τὸν Δαβὶδ ἄνωθεν προει-
πόντα τὸ παράλογον αὐτῶν μῖσος ἐπὶ τούτοις εἰσενεγκών, «*ἵνα πλη-
ρωθῇ γάρ*» φησιν «*ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν, ὅτι
ἐμίσησάν με δωρεάν*», εἰς τοὺς περὶ τοῦ ἰδίου πνεύματος ἐμβάλλει
λόγους καὶ τὴν θεολογίαν καὶ φησίν: «*ὅταν δὲ ἔλθῃ ὁ παράκλητος,
ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ
παρὰ τοῦ πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ καὶ ὑμεῖς*
B14 *δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε*»· ἐκεῖνοι μέν φησι, | οἱ διώ-
κοντες, οὕτω μισοῦσι καὶ οὕτω διώκουσιν, ἀπιστοῦντες μου τῇ θεό-
A305v τητι· | ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, τὸ πνεῦμα τῆς ἀληθείας, ἐκεῖνος
τἀληθῆ μαρτυρήσει περὶ ἐμοῦ· ἐπειδὴ γὰρ τοῖς περί τινων μαρτυροῦσι
τῆς ἀληθείας πρὸ πάντων δεῖ, ἵνα καὶ τὸ πιστὸν καὶ ἀσφαλὲς ἔχωσιν,
ἐντεῦθεν καὶ ἀληθείας πνεῦμα τὸ πνεῦμα τὸ ἅγιον ὁ Χριστὸς ἐνταῦθα
προσαγορεύει. Τὸ μὲν γὰρ τοῦ πατρὸς εἶναι τὸ πνεῦμα καὶ ἑαυτοῦ
διά τε τῆς ἀποστολῆς τῆς αὐτοῦ καὶ διὰ τῆς ἐκπορεύσεως τῆς ἐκ τοῦ
πατρὸς ἐδήλωσε· προσείρηκε δ' αὐτὸ καὶ ἀληθείας πνεῦμα, ὡσὰν τὸ
ἀξιόπιστον κἀντεῦθεν, ὅπερ ἔφην, τῇ μαρτυρίᾳ κατασκευάσῃ· καὶ πότε
φησὶ καὶ πῶς ἐμαρτύρησε τὸ πνεῦμα κατελθὸν περὶ τοῦ Χριστοῦ; καὶ
ἡ ἐπιφοίτησις μὲν οὖν ἐκείνη καὶ οὐσιώδης ὡς ἂν εἴποι τις παρουσία
τοῦ πνεύματος μαρτυρία μεγίστη τῆς τοῦ Χριστοῦ θεότητος ἦν, τοῦ
καὶ πρὸ τοῦ πάθους καὶ μετὰ τὴν ἀνάστασιν, καὶ ἐπαγγειλαμένου
ταύτην τοῖς ἀποστόλοις καὶ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον ἑαυτοῦ
κατὰ τὰς ἐπαγγελίας μετὰ τῆς φυσικῆς ὡς αὐτοῦ τε κἀκείνου δυνάμεως
B14v καὶ δόξης μεγαλοπρεπῶς ἀποστείλαντος. | «*Ἰδοὺ γάρ*» φησιν «*ἀπο-
στέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς, ὑμεῖς δὲ καθίσατε*
A306 *ἐν τῇ πόλει Ἱερουσαλὴμ ἕως οὗ* | *ἐνδύσησθε δύναμιν ἐξ ὕψους*».
Μεμαρτύρηκε μέντοι τὸ πνεῦμα τρανῶς καὶ θεὸν καὶ υἱὸν θεοῦ τὸν
Χριστὸν αὖθις καὶ δι' εὐαγγελιστῶν τε καὶ ἀποστόλων καὶ ξυμπάντων
ὁμοῦ μαρτύρων, ἀνδρῶν τε καὶ γυναικῶν ἐν παντὶ τῷ κόσμῳ, πρὸς

---

8: Joh. 15, 25. 11: Joh. 15, 26. 30: Luc. 24, 49.

---

20 τοῦ πατρός: τοῦ s. v. B. τὸ πνεῦμα: om. τὸ B. 21 τοῦ πνεύματος om. B. 21 τῆς ἐκ om. A. 25 εἴποι B. 29 ὡς αὐτοῦ: ἑαυτοῦ B.

βασιλέας τε καὶ τυράννους καὶ στρατηγοὺς καὶ ἡγεμόνας παραταξαμένων κατὰ πᾶν ἔθνος καὶ πόλεις πάσας καὶ χώρας, ῥήτοράς τε καὶ σοφοὺς καὶ διαλεκτικοὺς καὶ προφήτας ἐκείνων καὶ μάντεις καὶ ἱερέας τῇ σοφίᾳ καὶ δυνάμει τοῦ πνεύματος κατὰ τὰς Χριστοῦ προρρήσεις καλῶς ἐπιστομισάντων καὶ κατὰ πάντων περιφανῶς ἀραμένων τὸ κράτος καὶ Χριστῷ σκυλευσάντων ὑπὲρ πάντα λόγον τὴν οἰκουμένην· *«παραδώσουσι γάρ»* φησιν *«ὑμᾶς εἰς συνέδρια καὶ εἰς συναγωγὰς δαρήσεσθε καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων ἀχθήσεσθε ἕνεκεν ἐμοῦ»· «μὴ οὖν προμεριμνᾶτέ»* φησι *«τί λαλήσετε, μηδὲ μελετᾶτε, ἀλλ' ὃ ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γὰρ ἐστὲ ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον»*. Διὸ καὶ Παῦλος, ὁ τῆς μεγάλης ταυτησὶ Χριστοῦ παρατάξεως μέγας στρατηγός τε | A306v καὶ πρό| B15 βολος, *«οὐδείς»* φησι *«λέγει κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ»*. Χριστὸς μὲν οὖν ὁ κατὰ φύσιν ἀχωρίστως συνημμένος τῷ ἑαυτοῦ πνεύματι καὶ *«νοῦν αὐτὸ»* κατὰ Παῦλον αὖθις τὸν σοφὸν *«κεκτημένος»*, ὅταν ἔλθῃ, φησίν, ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται.

4. Σὺ δὲ τί φῄς, ὁ καινὸς τοῦ πνεύματος θεολόγος καὶ πρόσφατος, ὁ τὴν μὲν πρεσβυτέραν αὐχῶν Ῥώμην καὶ τὰς προεδρίας καὶ τοὺς θρόνους καὶ τὸ κατὰ πάσης ἐκκλησίας πρεσβεῖόν τε καὶ τὸ κράτος μετὰ τῆς φίλης ὀφρύος ἡμῖν πανταχοῦ προϊσχόμενος, αἴσχιστα δὲ νεωτερίζων περὶ τὴν πίστιν καὶ τὴν τοῦ πνεύματος καταρρυπαίνων θεολογίαν, ὃ πρὸς τοὺς τὸν υἱὸν βλασφημοῦντας τῶν καθ' ἡμᾶς τις ἔφη πάλαι σοφῶν; πόθεν καὶ παρὰ τίνος τὴν καινὴν ταύτην καὶ ἀήθη θεολογίαν τε καὶ φωνὴν μαθὼν ἔχεις, ὦ βέλτιστε; τίνα θεὸν ὁμοῦ τε καὶ θεολόγον ἢ καθηγητήν τε καὶ διδάσκαλον ἕτερον μετὰ Χριστὸν ἐπὶ τῆς γῆς εὗρες, τὸν ἕνα γε καὶ μόνον, ὡς αὐτὸς ἐκεῖνος ἔφη, πάντων ἡμῶν καθηγητὴν καὶ διδάσκαλον, τὸν θεὸν ἅμα καὶ θεολόγον τῆς ἰδίας θεότητος, τὸ μὲν | A307 κατὰ φύσιν, τὸ δὲ διὰ τὴν πρὸς ἡμᾶς συγκατάβασιν; ὁ μὲν γάρ, καθάπερ ἀκούεις, εἴ γε καὶ λέγοντος αὐτοῦ θέλεις τέως ἀκούειν, τὸ πνεῦμά φησι τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· σὺ δὲ πῶς καὶ τὸ παρὰ τοῦ υἱοῦ προστίθεις, ὅπερ ἐκεῖθεν οὔμενουν οὐδαμῶς ἤκουσας καὶ συναίτιον θεότητος καὶ τὸν υἱὸν τῷ πατρὶ κατασκευάζεις, τῇ μόνῃ πηγῇ τῆς ὑπερουσίου θεότητος καὶ ἀμφοτέροις δίδως τὴν τοῦ

---

7: Math. 10, 17. 13: Cor. 12, 3. 15: 1 Cor. 2, 16.

---

10 τοῦτο om. A. 12 post προ· lacuna in B. 24 κενὴν sed o r . A.

πνεύματος αἰτίαν καὶ τὴν ἐκπόρευσιν, ἀναπληρῶν, ὡς ἂν αὐτὸς φαίης, θρασείᾳ καὶ τολμηρᾷ γλώττῃ τὸ τῆς Χριστοῦ θεολογίας ὑστέρημα, ὥσπερ εἰ ἀγνοοῦντος ἐκείνου; ἀλλ' ἵλεως ἡμῖν εἴης ἡ ἐνυπόστατος τοῦ πατρὸς σοφία, Χριστὲ προαιώνιε λόγε καὶ ὁμότιμε τῷ γεγεννηκότι καὶ ὑπερόριον ἡμῶν ἅπαν εἴη τὸ βλάσφημον ἢ καὶ σιωπῶντος ἑκόντος, ἅπερ εἰδέναι σφόδρα τοὺς οἰκείους ἐβούλετο, ἵνα κἀκεῖνοι τοὺς ἑξῆς ἡμᾶς κατὰ τοὺς ἐκεῖθεν χρησμοὺς διδάξωσιν ἅπερ καὶ ἐδιδάχθησαν· *«πορευθέντες»* καὶ γάρ φησι *«εἰς τὸν κόσμον ἅπαντα μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα* A307v *τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, διδάσκοντες* | *αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν»*· ὅθεν ἀπόστολοί τε καὶ εὐαγγελισταί, διδασκάλων τε καὶ πατέρων ἱεροὶ σύλλογοι κατὰ διαδοχὴν ἐκεῖθεν ὡς ἐκ μιᾶς πάντες πηγῆς τὸ τῆς θεολογίας ἀρυσάμενοι νάμα, καθάπερ εὔγειόν τινα καὶ πολυφόρον ἀρδεύουσι τὴν τοῦ Χριστοῦ παγκόσμιον ἐκκλησίαν· οὐ Ρώμη μόνον, ὡς αὐτὸς φῂς καὶ ταῖς σαῖς προεδρίαις, ὁρίοις μικροῖς καὶ σμικρῷ τινι περιγραφομένοις μέρει περικλειομένην τοῦ κόσμου, ἀλλὰ πᾶσαν ὑπερφυῶς τὴν γῆν τῇ δυνάμει τοῦ πεφυτευκότος αὐτὴν εἰς ἅπαντα τὸν κόσμον πεπληρωκυῖαν καὶ ὄρη καὶ νήσους καὶ θαλάσσας καὶ ποταμοὺς καὶ γῆς ἐσχατιὰς ὑπερβᾶσαν καὶ μέχρι τῶν περάτων αὐτῆς ἐκταθεῖσαν· ἀλλὰ σὺ μὲν οἶδ' ὅτι τὰ συνήθη καὶ αὖθις ἐρεῖς, τοὺς εὐαγγελικοὺς τε καὶ ἀποστολικούς, ἀλλὰ δὴ καὶ πατρικοὺς προβαλλόμενος λόγους ἑξῆς καὶ συνείρων πρὸς ἡμῶν ὄντας μᾶλλον καὶ τῆς ὀρθῆς δόξης, ἀλλ' οὐχ ὑπὲρ σοῦ καὶ τῆς προσφάτου ταύτης καινοτομίας, τὸ ἐκεῖνος ἐμὲ δοξάσει φημί, ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν καὶ ὃν ἐγὼ πέμψω ὑμῖν καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐξαγγελίαν τοῦ A308 πατρός μου ἐφ' ὑμᾶς καὶ τὸ | μετὰ τὸ πάθος καὶ τὴν ἀνάστασιν αὖθις ἐμφύσημα καὶ τὴν χάριν, οὐ μὴν ἀλλὰ καὶ τὸ εἴ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει οὐκ ἔστιν αὐτοῦ, ἔτι τε τὸ ἀπέστειλεν ὁ Θεὸς τὸ πνεῦμα τοῦ υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν καὶ τὴν διὰ καὶ τὸ προσεχῶς καὶ τὸ εἰκόνα τοῦ υἱοῦ πρὸς τῶν θεολόγων εἰρῆσθαι τὸ πνεῦμα καὶ τὸ διὰ τοῦ υἱοῦ συνάπτεσθαι τῷ πατρὶ καὶ ὅσα ἑξῆς· τὸ γὰρ πνεῦμα υἱοῦ λέγομεν, ἐκ τοῦ υἱοῦ δὲ οὐ λέγομεν καὶ τὸ ἔστι πηγαία θεότης ὁ πατὴρ καὶ τὸ μόνη πηγὴ τῆς ὑπερουσίου θεότητος ὁ πατὴρ καὶ ὅτι ἐκ τοῦ πατρὸς δὲ τὸ πνεῦμα καὶ οὐχ ἑτέρωθεν καὶ

---

8 : Math. 28, 19.

---

3 εἰ : ἡ A. 32 in mrg. A : Δαμασκηνοῦ. 33 in mrg. A : Διονυσίου. 35 in mrg. A : Βασιλείου.

τὸ πάντα ὅσα ἔχει ὁ πατὴρ τοῦ υἱοῦ, πλὴν τῆς αἰτίας, τήν τε οὐρανόθεν ἐκφανεῖσαν ἀποκάλυψιν ἐκείνην Γρηγορίῳ φημὶ τῷ πάνυ, ἓν πνεῦμα ἅγιον φάσκουσαν ἐκ πατρὸς καὶ αὐτὸ τὴν ὕπαρξιν ἔχον καὶ δι' υἱοῦ πεφηνὸς δηλαδὴ τοῖς ἀνθρώποις καὶ τὸ πῶς οὐκ ἔσται τὸ πνεῦμα θεός, ὅλην ἔχον ἐν ἑαυτῷ οὐσιωδῶς τὴν ἰδιότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, οὗ καὶ τὸ πνεῦμά ἐστι, δι' υἱοῦ τῇ κτίσει χορηγούμενον· ταῦτα τοίνυν ὁμοῦ πάντα σύ, μᾶλλον δὲ καὶ πατρικὰς ὁμοῦ καὶ θεολογικὰς πάσας βίβλους καὶ τὸν ἰδιαίτατον τουτονὶ τῆς εὐσεβείας καὶ ἐξαίρετον ὅρον τε καὶ κανόνα, τὸ τῆς ὀρθῆς, φημι, πίστεως
A308v μέγα τε καὶ θεόπνευστον σύμ|βολον, σὺν τῇ μεγίστῃ καὶ πρώτῃ τοῦ Χριστοῦ παραχαράττων θεολογίᾳ τῇ καινοφανεῖ καὶ ἀήθει σου |
B15 ταύτῃ προσθήκῃ καὶ μηδὲ τὸν κορυφαῖον τῶν ἀποστόλων τε καὶ θεολόγων αἰδούμενος Πέτρον, καίτοι γε καὶ μέγα κομπάζων ὡς αὐτὸς φῂς ἐπ' ἐκείνῳ καὶ τὸν κοινὸν ἰδιοποιεῖσθαι τουτονὶ διδάσκαλον προσποιούμενος, ὃς πρῶτος μετὰ Χριστὸν τήν τε Χριστοῦ καὶ τὴν τοῦ πνεύματος αὐτοῦ διαδεξάμενος αὐτίκα θεολογίαν καὶ τὸ ἐκ τοῦ πατρὸς καθ' ὕπαρξιν εἶναι τὸ πνεῦμα καὶ τὸ δι' υἱοῦ τοῖς μετέχουσιν αὐτὸ χορηγεῖσθαι, καλῶς καὶ κατὰ τὸν ἑαυτοῦ δῆλα δὴ διδάσκαλον καὶ αὐτὸς διεῖλε καὶ τεθεολόγηκε, τὴν ἐπαγγελίαν εἰρηκὼς τοῦ ἁγίου πνεύματος λαβὼν ὁ υἱὸς παρὰ τοῦ πατρὸς ἐξέχεε τοῦτο, ὃ νῦν ὑμεῖς βλέπετε καὶ ἀκούετε. Ταῦτα τοιγαροῦν καὶ τὰ τούτοις γε ξυγγενῆ καὶ κατάλληλα καὶ πάνθ' ὁμοῦ παραλογιζόμενος αὐτός, ᾗπερ ἔφην, δύο θεότητος ἀρχὰς καὶ διπλᾶς αἰτίας ταύτης εἰσάγεις καὶ τὸ μέγα τῆς ἐκκλησίας ὅσον τὸ ἐπὶ σοὶ καθαιρεῖς κράτος τε καὶ τὸ σέβας, πολυαρχίαν τε καὶ πολυθεΐαν ἀντὶ τοῦ ἑνὸς καὶ μόνου θεοῦ καὶ τῆς μιᾶς ἀρχῆς καὶ θεότητος ὡς μὴ ὤφελες ἐντεῦθεν εἰσφέρων.
A309 *«Διὰ τοῦτο καὶ γὰρ | ἡμῖν εἷς Θεός»* Γρηγόριός φησι ὁ τῆς θεολογίας
B15v ἐπώνυμος *«ὅτι πρὸς ἓν αἴτιον | τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει»*· ἀλλ' ἡμεῖς ἐκ τοῦ πατρὸς εἰδότες μόνον τὸ πνεῦμα, κἀκεῖθεν ἀχρόνως αὐτὸ μεμαθηκότες ἅμα τῷ υἱῷ τὴν αἰτίαν καὶ τὴν ὕπαρξιν ἔχειν, ἐκ μὲν τῆς πατρικῆς ὑποστάσεως ἀμέσως ἐκπορευόμενον σὺν ἐκείνῳ καθ' ἕτερον δῆλα δὴ τρόπον, ἀναπαυόμενον δ' ἐν υἱῷ καὶ μένον ἀδιαστάτως καὶ πνεῦμα πεφυκὸς αὐτοῦ, καθάπερ ἄρα καὶ τοῦ πατρός, κατὰ τὸ κοινὸν τῆς οὐσίας, μία καὶ γὰρ τοῖς τρισὶν αὕτη δι' υἱοῦ τε φανερωθὲν καὶ δοθὲν τοῖς ἀνθρώποις, ἀλλὰ καὶ πεμπόμενον καὶ διδόμενον αὖθις παρ' αὐτοῦ τε καὶ τοῦ πατρός, κατὰ τὸν τῆς εὐδοκίας φημὶ καὶ τῆς θελήσεως καὶ τῆς βουλῆς λόγον, καθ' ὃ δὴ καὶ ὁ

---

1 in mrg. Θεολόγου. 2 Γρηγορίῳ: in mrg: τῷ θαυματουργῷ. 5 in mrg: Κυρίλλου. 12 incipit B. 20 ὃ: ὃν B. 21 γε om. A.

υἱὸς παρὰ τοῦ πατρός τε καὶ τοῦ πνεύματος ἀπεστάλη (*τὴν γὰρ εὐδοκίαν τοῦ πατρὸς ἀποστολὴν εἶναι νόμισον*, Γρηγόριός φησιν ὁ λαμπρὸς θεολόγος), οὐ μὴν ἀλλὰ καὶ παρ' ἑαυτοῦ δεσποτικῶς ἐρχόμενον ὡς θεὸν αὖθις· ὅταν γὰρ ἔλθῃ, φησίν, ὁ παράκλητος, πνεῖ καὶ γὰρ ὅπου θέλει καὶ πηνίκα καὶ ὅσον, κοινὴν κεκτημένος πατρί τε καὶ υἱῷ τήν τε βουλὴν καὶ τὴν δύναμιν ἅμα καὶ τὴν ἐνέργειαν, | A309v ταῦτα τοίνυν ἀπό τε Χριστοῦ καὶ τῶν ἐκείνου πάντων μεμαθηκότες καὶ κανόσι καθαπερεί τισι καὶ στάθμαις κατὰ πάντων τουτοισὶ κεχρη| B16 μένοι, τὸ περιττὸν καὶ σκολιὸν ἅπαν τῇ μαχαίρᾳ τοῦ πνεύματος ἀποτέμνομεν τοῦ ὀρθοῦ τε καὶ ἀναγκαίου καὶ τῆς καθ' ἡμᾶς πνευματικῆς ταυτησὶ φατρίας πόρρω που βάλλομεν ἐν ὅροις τῆς ἀνοθεύτου καὶ ὀρθῆς ἱστάμενοι πίστεως· καὶ ὅτε μὲν χρονικῶς καὶ πρός τινας ἀκούσομεν ἐρχόμενον ἢ πεμπόμενον τὸν παράκλητον, οὐ τὴν καθ' ὕπαρξιν ἐκπόρευσιν τούτου νοοῦμεν· πῶς γὰρ τὴν ἀναίτιόν τε καὶ ἄχρονον; ἀλλὰ ποτὲ μὲν τὴν κατ' εὐδοκίαν ἀποστολὴν κοινὴν οὖσαν πατρί τε καὶ υἱῷ, κἂν ποτὲ μὲν παρὰ τοῦ πατρὸς αὕτη γίγνεσθαι λέγηται, ποτὲ δὲ παρὰ τοῦ υἱοῦ, ποτὲ δὲ παρὰ πατρὸς ὁμοῦ καὶ υἱοῦ, ποτὲ δ' αὖθις ἐκ τοῦ πατρὸς δι' υἱοῦ· ὅταν γὰρ ἔλθῃ, φησίν, ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρὸς καὶ ἡ πρὸς τὸν θαυματουργὸν ἀποκάλυψις αὖθις ἓν πνεῦμα φησὶν ἅγιον ἐκ πατρὸς καὶ αὐτὸ τὴν ὕπαρξιν ἔχον καὶ δι' υἱοῦ πεφηνός, δηλαδὴ τοῖς ἀνθρώποις· ποτὲ δὲ τὴν κοινὴν χάριν τῶν πνευματικῶν ἐνεργημάτων τε καὶ τῶν | A310 χαρισμάτων κατανοοῦμεν παρὰ πατρὸς διδομένην δι' υἱοῦ ἐν ἁγίῳ πνεύματι, ὡς καὶ ὁ μέγας φησὶν Ἀθανάσιος, «*ἡ διδομένη χάρις καὶ δωρεὰ*» λέγων «*ἐν τριάδι δέδοται παρὰ πατρὸς δι' υἱοῦ ἐν ἁγίῳ πνεύματι*»· περὶ ὧν δήπου καὶ ὁ σοφὸς ἔλεγε Παῦλος ὅτι «*διαιρέσεις* | B16v *χαρισμάτων εἰσί*», τὸ δὲ αὐτὸ πνεῦμα καὶ διαιρέσεις διακονιῶν εἰσι καὶ ὁ αὐτὸς κύριος καὶ διαιρέσεις ἐνεργημάτων εἰσίν, ὁ δὲ αὐτός ἐστι θεός, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν· ὅθεν καὶ Χριστὸς μετὰ τὴν ἰδίαν ἀνάστασιν τουτωνὶ τῶν χαρισμάτων τοῦ πνεύματος τοῖς ἑαυτοῦ μεταδιδοὺς μαθηταῖς πρὸ τῆς εἰς οὐρανοὺς ἀνόδου ἐνεφύσησε καὶ λέγει αὐτοῖς «*λάβετε πνεῦμα ἅγιον*»· οὐδὲ γὰρ οὐσιωδῶς αὐτὸ τὸ πνεῦμα τότε ἐδίδου· πῶς γάρ, ὅς γε πρὸς τοὺς σφετέρους αὐτοῦ μαθητὰς ἔλεγε πρὸ βραχέος, «*ἐὰν ἐγὼ μὴ ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται*» καὶ μετὰ τὸ ἐμφύσημα τοῦτο, «*ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ πατρός μου ἐφ' ὑμᾶς, ὑμεῖς δὲ καθίσατε ἐν τῇ πόλει Ἱερουσαλὴμ ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους*» πρὸς τοὺς αὐτοὺς πάλιν· οὐ τὴν οὐσιώδη τοιγαροῦν καὶ ἐνυπό| A310v στατον

---

26: 1 Cor. 12, 4. 32: Joh. 20, 22. 34: Joh. 16, 7. 35: Luc. 24, 49.

τοῦ πνεύματος παρουσίαν ὁ Χριστὸς ἥπερ ἔφην ἐδίδου τὸ τηνικαῦτα· πῶς γὰρ ἂν καὶ μετὰ τὴν ἄφιξιν αὐτοῦ ταύτην ἔσεσθαι προύφη, ταύτην τότε διδοὺς κατὰ τὰς τινῶν ὑπολήψεις ἀλλὰ χαρίσματος ἐκείνου μετεδίδου τέως καὶ κοινῆς τῆς τριάδος ἐνεργείας, ὅπερ ἔφθην εἰπών· ὅθεν καὶ Ἰωάννης, ὁ τὴν γλῶτταν χρυσοῦς, τὴν εὐαγγελικὴν ἐκείνην ἐξηγούμενος ῥῆσιν, τὴν *«οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα»* B17 *«ἡμεῖς»* φησι *«πάντες μέτρῳ τὴν ἐνέργειαν τοῦ πνεύματος* | *ἐλάβομεν»*· πνεῦμα γὰρ ἐνταῦθα τὴν ἐνέργειαν λέγει· αὕτη γάρ ἐστιν ἡ μεριζομένη· οὗτος δὲ ἀμέτρητον καὶ ὁλόκληρον ἔχει πᾶσαν τὴν ἐνέργειαν· εἰ δὲ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία· ὁπηνίκα γὲ μὴν ἐκπόρευσιν τοῦ πνεύματος ἄχρονόν τε καὶ οὐ δι' αἰτίαν τινὰ γιγνομένην ἀκούσωμεν, οὐ γὰρ διὰ τόδε τι, οὐδὲ πρός τούσδε καὶ ποτὲ θεὸς ἢ γεννᾶται ἢ ἐκπορεύεται φυσικῶς· καὶ γὰρ ἐκ τοῦ θεοῦ καὶ πατρὸς ταῦτα καὶ φύσεως ὁ υἱὸς καὶ τὸ πνεῦμα γέννημά τε καὶ πρόβλημα ἀλλ' οὐ θελήσεως οὐδ' ἐνεργείας κατά γε τὰ κτίσματα φασὶν οἱ θεολόγοι πατέρες· ταῦτα τοιγαροῦν ἀκούοντες, ὅπερ ἔφην, τὴν ὑπέρχρονον εὐθὺς καὶ ἀΐδιον καὶ φυσικὴν ἐκ τῆς πατρικῆς ὑπο- A311 στάσεως | τοῦ πνεύματος ὕπαρξιν ἐννοοῦμεν, ἀνάρχως καὶ ἀναιτίως· τοῦτο δέ φημι κατὰ τὸν χρόνον καὶ τὰς αἰτίας τὰς κάτω ἐκ τῆς μόνης ἀρχῆς καὶ πηγῆς τῆς ὑπερουσίου θεότητος, δῆλα δὴ τοῦ πατρός, ἅμα τῇ γεννήσει τοῦ υἱοῦ πεφυκυῖαν, ὅπερ αὐτός τε πρῶτος ὁ Χριστὸς διὰ τοῦ ἰδίου στόματος ἐκδιδάσκει, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται φήσας, καθὰ δὴ καὶ αὐτὸς ἤδη πολλάκις ἔφην καὶ Πέτρος εὐθὺς μετ' αὐτόν, ἡ τιμιωτάτη κορυφαία τῶν θεολόγων ἀκρότης, ἵν' εὐκαίρως τοῖς τοῦ σοφοῦ Διονυ- B17v σίου | καὶ αὐτὸς περὶ αὐτοῦ νυνὶ χρήσομαι καὶ σὺν αὐτῷ γε καὶ μετ' αὐτόν, ἀποστόλων τε καὶ πατέρων ἰδίᾳ τε καὶ κοινῇ πάντα θεολογοῦσι συστήματα καὶ τὸν τῆς πίστεως ἡμῖν ἀνάγραπτον ὅρον καθαπερεί τινα στήλην ἔμπνουν καὶ ζῶσαν κατέλιπον, πιστεύω καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον λέγοντα, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ πατρὸς ἐκπορευόμενον, τὸ σὺν πατρὶ καὶ υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον· τούτοις στοιχειωθέντες ἡμεῖς ἄνωθεν καὶ τὴν θεολογίαν ταυτηνί, καθὰ δὴ καὶ φθάσας εἶπον, παρὰ πάντα τὸν βίον ἀσκήσαντες, οὐκ ἐκ τῶν κάτω λόγων καὶ διδασκάλων, ἀλλ' ἐξ οὐρανῶν καὶ αὐτοῦ δῆλα δὴ Χριστοῦ τοῦ ἐνυποστάτου πατρικοῦ λόγου A311v τὴν ἀρχὴν | ἔχουσαν καὶ πνεῦμα πατρὸς τὸ πνεῦμα τὸ ἅγιον λέγομεν καὶ ἐν τῷ πατρὶ καὶ σὺν τῷ πατρὶ καὶ ἐκ τοῦ πατρὸς καὶ παρὰ τοῦ

---

**1 παρουσίαν ἢ φανέρωσιν** in rasura **B. 4 εἰπὼν ἔφθην B. 26 χρήσωμαι AB.**

πατρός, τό τε κοινὸν τῆς οὐσίας ἐντεῦθεν δηλοῦντες καὶ τὸ ξυνημμένον καθάπαξ τε καὶ ἀχώριστον καὶ τὴν ἐκ τῆς πατρικῆς ὑποστάσεως τοῦ πνεύματος ἀΐδιον ὕπαρξιν εἴτ' οὖν ἐκπόρευσιν αὐτῷ μόνῳ προσοῦσαν ὡς πατρὶ καὶ ἀρχῇ φυσικῇ μόνῳ θεότητος υἱοῦ τε καὶ πνεύματος καὶ πρὸς τούτοις τὴν τε κατ' εὐδοκίαν ἀποστολὴν τοῦ πνεύματος παρ' αὐτοῦ πρὸς τὰ κτίσματα, ἣν δι' υἱοῦ τε καὶ σὺν |
B18 υἱῷ τῷ πνεύματι συνεργάζεται καὶ τὴν τῶν πνευματικῶν χαρισμάτων γε δωρεάν, κοινὴν οὖσαν τῆς μακαρίας τριάδος, ὡς προέφην, ἐνέργειαν καὶ παρὰ πατρὸς δι' υἱοῦ τοῖς ἀξίοις πεμπομένην ἐν πνεύματι· ὥσπερ καὶ γὰρ ἐκ τοῦ πατρὸς ἔστι δι' υἱοῦ *ἡ διδομένη χάρις*, ὁ μέγας αὖθις φησὶν 'Αθανάσιος, οὕτως οὐκ ἂν γένοιτο κοινωνία τῆς δόσεως ἐν ἡμῖν, εἰ μὴ ἐν τῷ πνεύματι τῷ ἁγίῳ· τούτου γὰρ μετέχοντες ἔχομεν τοῦ πατρὸς τὴν ἀγάπην καὶ τοῦ υἱοῦ τὴν χάριν καὶ αὐτοῦ τοῦ πνεύματος τὴν κοινωνίαν· μία ἄρα καὶ ἐκ τούτων ἡ τῆς Τριάδος ἐνέργεια δείκνυται, ἣν δὴ καὶ 'Ιωάννης, ὁ τὴν γλῶτταν
A312 χρυσοῦς, ***πνεῦμα*** πρὸ βραχέος εἰρήκει, τῆς εὐαγγε|λικῆς φωνῆς ἐκδεξάμενος· καὶ πνεῦμα δὲ Χριστοῦ καὶ νοῦν Χριστοῦ τὸ πνεῦμα φαμὲν αὖθις τὸ ἅγιον καὶ υἱοῦ πνεῦμα καὶ μένον ἀχωρίστως ἐν τῷ υἱῷ καὶ ἀναπαυόμενον καὶ εἰκόνα ζῶσαν καὶ ἀπαράλλακτον τοῦ υἱοῦ· εἰ δὲ βούλει καὶ τοῦ πατρὸς σὺν αὐτῷ διὰ τὸ τῆς οὐσίας ἓν καὶ ὁμότιμον σὺν υἱῷ τε φυσικῶς ἀχρόνως τε καὶ ἀμέσως τῆς πατρικῆς προερχόμενον ὑποστάσεως, εἰ καὶ δι' αὐτοῦ τις ἔφη τῶν θεολόγων, τοῦτο συνάπτεσθαι τῷ πατρὶ ὡς τῆς πατρικῆς προσηγορίας προσε-
B18v χῶς τε καὶ ἅμα τὸν υἱὸν ἀναγκαζούσης | νοεῖσθαι, μεθ' οὗ γεννωμένου δῆλα δὴ τὸ πνεῦμα καθ' ἕτερον τρόπον ἀδιαστάτως ἐκπορεύεται ξυνημμένον τὸ πατρὸς εἶναί τε καὶ καλεῖσθαι πνεῦμα παρὰ τῆς τοῦ υἱοῦ σχετικῆς προσηγορίας λαβὸν υἱοῦ καὶ γὰρ πάντως πατὴρ ὁ πατὴρ ὥσπερ καὶ πνεύματος προβολεύς, ἀλλ' οὐ πατὴρ προηγουμένως, οὐδὲ γὰρ ἀναγκάζει κἀνταῦθα τοὔνομα καθάπερ ἐπ' ἐκείνου καὶ ἡ κατηγορία τοῦ πρός τι δι' υἱοῦ τε καὶ τοῖς ἀνθρώποις φανὲν καὶ ἐμπνεόμενον αὖ καὶ πεμπόμενον καὶ χορηγούμενον καὶ διδόμενον δι' αὐτοῦ τε καὶ παρ' αὐτοῦ τῇ κτίσει, εἰ δὲ βούλει καὶ ἐξ αὐτοῦ· οὐδὲ
A312v γὰρ περὶ τῶν λέξεων οὐδὲν οὐδ' ὁπωστιοῦν, ὦ φίλος, | κατὰ τὸν εἰπόντα, ζυγομαχήσομεν, ἕως ἂν ὁ σκοπὸς ὑγιαίνῃ τοῦ λέγοντος καὶ ὁ χρόνος καὶ ἡ αἰτία τῆς ἐκεῖθεν τοῦ πνεύματος ἐπιδημίας πρόσκειται, τῆς κατ' εὐδοκίαν ἐκ πατρός τε καὶ υἱοῦ τοῦ πνεύματος πρὸς ἀνθρώπους ἀποστολῆς καὶ δὴ καὶ τῆς δωρεᾶς τῶν πνευματικῶν ἐνεργημάτων τε καὶ χαρισμάτων, ἃ πολλάκις εἰπόντες ἔφθημεν, τὴν

---

**καθάπαξ τὲ καὶ Β. 35-36 *προσκέηται* ΑΒ.**

προαιώνιον ἐκείνην καὶ φυσικὴν ἐκ τῆς πατρικῆς ὑποστάσεως ἐκπόρευσίν τε καὶ ὕπαρξιν τοῦ πνεύματος διαστέλλοντα, μόνης τῆς πατρικῆς αἰτίας καὶ ἰδιότητος οὖσαν, τῆς μόνης ἀρχῆς κατὰ τοὺς θεολόγους καὶ πηγῆς τῆς θεότητος, ὃ δὴ | B19 καὶ Χριστὸς τοὺς μαθητὰς καὶ ἀποστόλους πρὸς αὐτῷ γεγονὼς τῷ σταυρῷ, διδάσκων ἧπερ ἔφημεν, ἔλεγεν: *«ὅταν δὲ ἔλθῃ ὁ παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ πατρός, τὸ πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται»*· ἐπεὶ δὴ καὶ χρὴ καθαπερεὶ διὰ κύκλου τινὸς ὥς πρὸς ἔφεσίν τινα τοὺς θείους χρησμοὺς ἀναδραμεῖν αὖθις τὸν λόγον, οὕτως ἡμεῖς ἐμπνεόμεθα καὶ φρονεῖν καὶ λέγειν περὶ τοῦ πνεύματος, εὐαγγελισταί φασι καὶ ἀπόστολοι καὶ θεολόγων χορὸς σὺν ἐκείνῳ τῷ ταῦτα καὶ πάλαι καὶ νῦν ὑψηλῶς γε θεολογήσαντι, ἔτι τε μαρτύρων καὶ ὁμολογητῶν καὶ πατέρων καὶ διδασκά| A313 λων, ἀνδρῶν τε καὶ γυναικῶν ὁμοῦ τάγματα, κρουνοῖς αἱμάτων καὶ δάκρυσι καὶ ἱδρῶσι τὴν παγκόσμιον ἐκείνην ἀρδευσάντων Χριστοῦ ἐκκλησίαν καὶ εἰς τόδε προαγαγόντων ὥρας τε καὶ μεγέθους τῇ τοῦ πνεύματος, ὃ δὴ καὶ φθάσας εἰρήκειν, ἀρρήτῳ δυνάμει καὶ ἐνεργείᾳ.

5. Ταῦτα καὶ σὺ μαρτύρων ἀκρότης, εὐαγγελιστῶν τε καὶ κηρύκων καὶ σοφῶν καὶ θεολόγων φιλοτιμία, Δημήτριε, δεῖ με καὶ γὰρ αὖθις ὑποστρέψαι πρὸς σὲ καὶ τοὺς ὑπὲρ σοῦ λόγους, δι' ὃν ἄρα καὶ τὰς μακρὰς ἐκείνας ἐκδρομὰς καὶ τοὺς ἀγῶνας ἐποιησάμην τῶν λόγων· ταῦτα καὶ σὺ τοιγαροῦν, ἀγωνιστῶν Χριστοῦ καὶ ἀθλητῶν | B19v ἄριστε, καλῶς κατὰ σαυτὸν καὶ μελετήσας, εἴπερ τις τῶν πάντων πρότερον, καὶ ἀσκήσας καὶ τὸ νόθον ἅπαν τῶν δογμάτων καὶ κίβδηλον καθαπερεί τινος βασιλικῆς εἰκόνος χαράγματος τῆς ὑγιοῦς πίστεως διακρίνας καὶ μετὰ τῆς ἀσεβείας εἰς Κυνόσαργες ἀπορρίψας, οὕτως ἐπὶ τὸ κήρυγμα καὶ τὴν σωτηρίαν ἀποστολικῶς τῶν σῶν πολιτῶν τε καὶ φίλων ἐξῆλθες, ἐκεῖνα σὺν ἐκείνοις εὐαγγελιζόμενος καὶ διδάσκων, ἃ δὴ καὶ πρὸς Χριστοῦ μόνα, τοῦ μόνου καθηγητοῦ τε καὶ διδασκάλου μεμάθηκας σὺν | A313v ἐκείνοις, ἅτε μυστικῶς ἐν τῇ σκοτίᾳ πρὸς τὸ οὖς ἤκουσας, κηρύττων κατὰ τὸν ἐκείνου λόγον καὶ βοῶν ἐπὶ τῶν δωμάτων καὶ βαπτίζων εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, κατὰ τοὺς ἐκεῖθεν δῆλα δὴ χρησμοὺς καὶ τὴν διαγνώμην, νύκτωρ καὶ μεθημέραν. Δι' ἃ δήπου καὶ ἀποσυνάγωγος γεγονὼς κατὰ τὰς μεγάλας Χριστοῦ προρρήσεις, μᾶλλον δὲ καὶ δεσμὰ καὶ εἱρκτὴν καὶ σκότος ὁ τοῦ φωτὸς υἱὸς καταδικασθεὶς παρὰ τῶν

---

6 Joh. 15, 26.

---

**7 παρὰ - 7 τοῦ in mrg. A. 25 χαράγματος: καὶ γραμμάτων in rasura B.**

χριστιανῶν τὸ φῶς τὸ ἀληθινὸν ἐλαυνόντων, οὐ μόνον οὐκ ἐσκανδα-
λίσθης, οὐδ' ἀνάξιόν τι σαυτοῦ τὸ παράπαν οὐδὲν καὶ τοῦ σοῦ πέ-
B20 πονθας γιγνομένου, ἀλλὰ καὶ τοῖς ἐχθροῖς | κἀκεῖθεν ἀντιβαίνεις καὶ
ἀντιπαλαμᾶσαι γενναίως καὶ ἀναιρεῖς μὲν τῇ τῆς Τριάδος ἐπικλήσει
καὶ ταῖς σαῖς εὐχαῖς τε καὶ προρρήσεσι διὰ Νέστορος τοῦ καλοῦ τὸν
ἀλλόφυλον ἐκεῖνον καὶ ἄδικον φονευτὴν Λυαῖον ἐνδίκως, καθάπερ ὁ
Δαβὶδ τὸν Γολιὰθ πρότερον λίθοις τρισὶ καὶ σφενδόνῃ, συνανατρέ-
πεις δ' ἐκείνῳ μάλα λαμπρῶς καὶ συγκαταβάλλεις καὶ τὸν ἀόρατον
Γολιὰθ ἢ Λυαῖον, τὸν ἀρχαῖον λῃστήν τε καὶ φθόρον τοῦ σοῦ γένους,
A314 τὸν ἀφανῆ τῶν ψυχῶν | ἀναιρέτην, οἷς δήπου καὶ συμπεσὼν καὶ ὁ
σοβαρὸς ἐκεῖνος καὶ ὑπέροφρυς καὶ τὰ μέγιστα φυσῶν βασιλεὺς καὶ
πλατύν τινα παρὰ προσδοκίαν ἥντινοῦν ὀφλήσας τὸν γέλωτα ὑπ' ἀμη-
χανίας ἐσχάτης καὶ τοῦ μηδ' ἔχειν ὅ,τι περ ἑαυτῷ τε καὶ τοῖς παροῦσι
χρήσεται, πρῶτα μὲν τὸν θαυμαστὸν ἐκεῖνον ἀριστέα καὶ τῶν κα-
κούργων κάλλιστον ἀναιρέτην κατὰ τὰς σὰς δῆλα δὴ προρρήσεις ἀναι-
ρεῖ Νέστορα, εἶτα καὶ τὴν θανατηφόρον ἑξῆς ἐκφέρει κατὰ σοῦ ψῆφον,
τῆς ὑπερφυοῦς καὶ θαυμαστῆς νίκης ἐκείνης ἀρχηγόν σε καὶ δημιουρ-
γόν, ὅπερ ἦν, λογισάμενος. Οἱ μὲν οὖν στρατευόμενοι Καίσαρι, τῷ
κοσμοκράτορι τῶν κάτω συρομένων, κατὰ τὸν εἰπόντα σοφόν, χάριτας
B20v ἐκτιννύντες παρανόμους, ὡς μὴ ὤ|φελον, Μαξιμιανῷ, μᾶλλον δὲ
καὶ λατρείαν δοκοῦντες ταυτηνὶ προσφέρειν τῷ σφετέρῳ θεῷ κατὰ
τὰς Χριστοῦ δηλονότι προρρήσεις, ὡς ἐπὶ μεγίστῳ τινὶ πολέμῳ καὶ
ἀλλοφύλων αἰφνιδίῳ καταδρομῇ λόγχαις ὁμόσε κατὰ Δημητρίου χω-
ροῦσι, ζέοντες ἅμα τοῖς θυμοῖς πάντες καὶ ἄλλος ἄλλον καὶ πάντες
A314v ὁμοῦ πάντας, εἴπερ οἷόν τε τῇ | προθυμίᾳ φθάσαι φιλοτιμούμενοι· ὁ
δὲ τῶν ἐπιόντων ἐπείπερ ᾔσθετο, καὶ ἐφ' ᾧ τὸν συνασπισμὸν καὶ τὸν
ἀγῶνα τουτονὶ τὸν μέγιστον ἀνεβάλλοντο, καιρὸς πρὸς ἑαυτὸν ὑπειπών,
Δημήτριε, τὰς τοῦ σωτῆρος ἐντολὰς καὶ τοὺς θείους ἐκείνους χρη-
σμοὺς ἐπὶ τῶν ἔργων σε νυνὶ δεῖξαι *«καὶ μὴ φοβηθῆναι ἀπὸ τῶν
ἀποκτεννόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι»*,
συσταυρωθῆναι μὲν οὖν γενναίως καὶ συναποθανεῖν τῷ ὑπὲρ σοῦ καὶ
σταυρωθέντι καὶ ἀποθανόντι δεσπότῃ, *«ἵνα καὶ συζήσῃς αὐτῷ καὶ συνδο-
ξασθῇς αἰωνίως»* κατὰ τὸν μακάριον Παῦλον, ταῦτα καὶ λογισάμενος καὶ
εἰπὼν καὶ ἀναπτερωθεὶς ὅλος καὶ ὥσπερ ἔξω γενόμενος αὐτὸς ἑαυτοῦ
καὶ τοῦ σχετικοῦ πεφυκότος, τῇ θείᾳ κατοχῇ καὶ τῷ ἔρωτι καὶ ταῖς

---

29: Math. 10, 28. 32: Rom. 8, 17. 6, 8.

1 χ̅ν̅ B. 6 ἀλλόφυλλον AB. 6 ἄδικον φονευτήν: ἄτοπον ἀνδροφό-
νον B. 9 φθόρον: φονευτὴν A. 23 ἀλλοφύλλων AB. 30 ἀποκταινόντων A.

ἐκεῖθεν ὑπὲρ φύσιν ἐλπίσι, τὴν δεξιάν τε πρὸς ὕψος αἴρει γενναίως, καθ' ἃ δὴ καὶ Χριστὸς ὑπὲρ ἡμῶν ἐπὶ τοῦ σταυροῦ πρότερον καὶ des. B. τὴν μυ|ρίαν ἐκείνην σφαγὴν ὑπὸ τοῦ τῶν στρατιωτῶν δέχεται σμήνους ἢ τῆς σφηκίας μᾶλλον, ἵν' οἰκειότερον εἴπω· καὶ οἱ μὲν τὸν αἴσχιστον οὑτωσὶ καὶ καταγέλαστον, μᾶλλον μὲν οὖν καὶ δακρύων ἄξιον τοῖς Λ315 νοῦν ἔχουσιν ἆθλον διηνυκότες | καὶ νεκρῷ μᾶλλον ἢ ζῶντι τῷ τοῦ ζῶντος ἀληθῶς ἐν Χριστῷ σου σώματι τὸ τῆς στρατιᾶς πλεῖστον ἐνυβρικότες, σφαδάζοντες ἔτι τοῖς θυμοῖς καὶ φόνους καὶ σφαγὰς πνέοντες ἄντικρυς ὑπεχώρουν καὶ δυσχεραίνοντες ὡσανεὶ πρὸς ἐκεῖνο, ὅτι μὴ πᾶσιν ὡσαύτως ἐξήρκεσε πρὸς σφαγήν τε καὶ φόνον, ἀλλὰ φθάσαν οὕτω τοὺς πλείους τῶν ψυχικῶν δεσμῶν τὴν ψυχὴν διαφῆκε· σὺ δὲ τοῦ μὲν χοὸς καὶ τῆς βραχείας ἐκείνης τοῦ σώματος γῆς τῇ ξυγγενεῖ γῇ παραχωρεῖς κατὰ φύσιν, ἢ μᾶλλον εἰπεῖν τἀληθές, οὐδὲ τοῦτο· τῷ πνεύματι γὰρ καὶ πάλαι σὺν τῇ ψυχῇ δι' ἀπαθείας καὶ καθαρότητος ταύτην συζεύξας καὶ ναὸν σεαυτὸν εἰργασμένος θεοῦ χωρητικὸν ὅλον, ἐπεὶ καὶ τῷ πάθει καὶ τοῖς ὑπὲρ ἐκείνου χυθεῖσιν αἵμασιν ὅλος ὅλῳ τελευταῖον συνεμορφώθης καὶ συνανεκράθης, υἱός τε θεοῦ καὶ θεὸς ἐν ἁγίῳ πνεύματι κατὰ χάριν γέγονας ὅλος, καὶ μετὰ τὴν τῆς ψυχῆς κατὰ φύσιν διάζευξιν καὶ τὴν λύσιν πνεύματος θείου πλῆρες ὑπερφυῶς ὡσαύτως ἡμῖν καταλείπεις τὸ σῶμα, κλῆρον ἀθάνατον, θησαυ- A315v ρὸν ἀτίμητον, περιουσίαν δαπανωμένην μηδέποτε, | θαύμασι παντοδαποῖς καὶ σημείων καὶ τεράτων δυνάμει καὶ δὴ καὶ ταῖς καιναῖς ταυταισὶ καὶ ὑπὲρ λόγον πηγαῖς τῶν μύρων τὴν ἔνοικον χάριν καὶ τὴν τοῦ θείου πνεύματος ξένην ἐνέργειαν, ὡσπερεί τισι γλώσσαις καὶ στόμασι μυρίοις πᾶσιν ἐμβοῶν καθεκάστην· ἐκεῖ δὲ τῷ πνεύματι γεγονὼς καὶ μετὰ Πέτρου καὶ Παύλου καὶ τῆς κατ' αὐτοὺς ἑταιρείας τοῦ τῶν μαρτύρων προλάμπων χοροῦ, καὶ σὺν ἀγγέλοις ἄλλος ἥλιος κατὰ χρησμοὺς δηλαδὴ τοὺς θείους τῷ τρισηλίῳ παρεστηκὼς θεῷ καὶ δεσπότῃ, οὐ τοιούτοις μόνον ἡμᾶς φιλοτιμῇ καὶ δεξιοῦσαι θαυμαστῶς τοῖς ἐνταῦθα, νόσων παντοδαπῶν καὶ παθῶν ἀνιάτων καὶ προσέτι βαρβάρων καὶ πολέμων καὶ φόνων καὶ πάσης κακίστης ἕξεως καὶ φθορᾶς διὰ παντὸς ἀπαλλάττων, ἀλλὰ καὶ σαυτὸν αὖθις, καθὰ δὴ καὶ τὸ πρότερον, ὑπὲρ ἡμῶν καὶ τοῦ μεθ' ἡμᾶς ἀσφαλοῦς καὶ σώζοντος δίδως, καὶ τὴν ἄνωθεν δικαίαν ὀργὴν καὶ τὴν φερομένην ὀξέως καθ' ἡμῶν πανωλεθρίαν ἐπέχεις· ἂν μὲν ἀφῇς τὴν ἁμαρτίαν διὰ τῶν ὀφθέντων ἀγγέλων πρὸς τὸν θεὸν εἰπών, ἄφες, εἰ δ' οὖν, A316 ἀλλὰ κἀμὲ συνδιέρ|γασαι τούτοις· ἐπεὶ τούτων γε καθάπαξ ἀπολλυμένων, οὐκ ἔστιν ἐμὲ τὴν φθορὰν ἑκόντα ποτὲ καὶ τὴν ἄνωθεν ὀργὴν καὶ τὸν κοινὸν κίνδυνον διαδράναι, ὅπερ οὐδ' Ἀβραὰμ ἐξεγένετο τῷ μεγάλῳ πρὶν ὑπὲρ Σοδόμων πρὸς θεὸν ἑστηκότι μετὰ μακρᾶς τῆς

ἱκετηρίας, οὐδὲ Νῶε καὶ Δανιὴλ καὶ Ἰὼβ ὑπὲρ τῶν οἰκείων δεηθεῖσι
κατὰ τοὺς θείους χρησμοὺς ἂν ἐδόθη· οὕτω τὴν πρώτην ἐκείνην ὑπὲρ
ἡμῶν ἔνστασιν καὶ τὸ φίλτρον καὶ τὸ σχετικὸν τῆς ψυχῆς ἀθάνατον
διασώζεις, συναύξων αὐτὸ ταῖς σαῖς ἀναβάσεσι καὶ ταῖς νοηταῖς ἐγγύ-
τησι καὶ κοινωνίαις τοῦ θείου ὡς κἀντεῦθεν ἐξεῖναι λογίζεσθαι τοῖς
ὀρθῶς ἐκεῖνα λογίζεσθαι δυναμένοις, ὁποῖός τις καὶ πηλίκος διαλλα-
κτής τε καὶ πρεσβευτὴς καὶ τὰ πρῶτα καὶ τὰ καιριώτατα τὰ εἰς
ψυχήν φημι φέροντα καὶ τὴν πρώτην τῷ ὄντι σωτηρίαν πρὸς θεὸν
ἡμῖν χρηματίζεις, τὴν θείαν δηλονότι καὶ αὖθις πρὸς ἡμᾶς εἰκονίζων
ἀγάπην τε καὶ φιλανθρωπίαν καὶ Χριστὸν ἐκμιμούμενος παντὶ τῷ τῆς
ψυχῆς πεφυκότι, ὃς *«ὑπὲρ τῶν ἀνομιῶν ἡμῶν εἰς θάνατον ἐλθών»*,
ἥ φησιν ὁ θαυμαστὸς Ἡσαΐας, καὶ *«τραυματισθεὶς διὰ τὰς ἡμετέ-
A316v *ρας* | *πληγὰς καὶ μαλακισθεὶς διὰ τὰς ἡμῶν ἀνομίας»* καὶ νόσους καὶ
*«κατάρα γενόμενος ὑπὲρ ἡμῶν»* κατὰ τὸν μακάριον Παῦλον, ἵν' ἡμᾶς
ἐξέληται τῆς κατάρας, ἔτι καὶ πρῶτος ὑπὲρ ἡμῶν καὶ πρόδρομος
κατὰ τὸν τῆς οἰκονομίας δῆλα δὴ λόγον καὶ τὸ ἀνθρώπινον εἰς οὐρα-
νόν, ὅ φησιν ὁ αὐτὸς ἀπόστολος, *«τῷ θεῷ καὶ πατρὶ ἐμφανισθη-
σόμενος εἰσῆλθεν»*, ᾧ καὶ ὑπὲρ ἡμῶν καὶ τῆς ἡμῶν σωτηρίας αὖθις
ὡς ἄνθρωπος ἐντυγχάνειν οὐ παραιτεῖται, καθ' ἃ δὴ καὶ τὸ τοῦ θα-
νάτου ποτήριον πρότερον ὁ θεοπρεπῶς οἰκείᾳ δυνάμει καὶ χειρὶ κε-
κρατηκὼς τοῦ τυράννου καὶ τὸν ἰσχυρὸν δήσας καὶ διαρπάσας αὐτοῦ
τὰ σκεύη καὶ προνομὴν ὑπερφυᾶ καὶ διανομὴν ἐργασάμενος τῆς ἁρ-
παγῆς καὶ πλεονεξίας καὶ τῶν ἀδίκων θησαυρῶν καὶ τοῦ πλούτου
ἐκείνου· ταῦτα καὶ Δημήτριος ὁ καλὸς μιμησάμενος, ὅπερ ἔφην, καὶ
σωτὴρ ἡμῖν καὶ Χριστός, οὐκ ὀκνήσω δ' εἰπεῖν ὅτι καὶ θεὸς καὶ
υἱὸς θεοῦ χρηματίσας μετὰ τὸν πρῶτον καὶ μόνον δῆλα δὴ σωτῆρα
καὶ θεὸν κατὰ φύσιν, τήν τε ψυχὴν ὑπὲρ τῆς θείας ἀγάπης καὶ τῶν
φιλουμένων, ἧπερ ἔφην, κατὰ καιρὸν ἐδεδώκει καὶ πρὸς Χριστὸν
A317 ἀπιὼν | αὖθις καὶ τὴν ἐκεῖ θαυμαστὴν κατοικίαν καὶ λῆξιν κἀν-
ταῦθα τῆς ὑπὲρ ἡμῶν σπουδῆς ὅλος πρὸς θεὸν διὰ παντὸς χρηματί-
ζει καὶ τῶν ἀγώνων τά τε ἄλλα πλουσίως καὶ ὑπερφυῶς ἐκεῖθεν ἡμῖν
διδοὺς καθ' ἑκάστην καὶ χαρίτων ποταμὸς καὶ ἀγαθῶν θάλασσα, οὐ
τοῖς ἑαυτοῦ μόνον γιγνόμενος ἑταίροις τε καὶ πολίταις, ἀλλ' ἤδη καὶ
τοῖς ἁπανταχοῦ γῆς ἀπὸ Χριστοῦ καλουμένοις πᾶσιν, ὡς μηκέτι
Θεσσαλονίκης τῆς λαμπρᾶς οὐδὲ τῶν περὶ αὐτὴν χωρῶν τε καὶ πό-
λεων μόνον, ἀλλὰ καὶ πλείστων ἑτέρων ἢ καὶ πασῶν σχεδὸν καὶ πο-
λίτην αὐτὸν καὶ οἰκιστὴν καὶ πρόμαχον καὶ φρουρὸν καὶ σωτῆρα καὶ
ἰατρὸν καὶ πάνθ' ὁμοῦ πεφυκέναι καὶ *«ἀπὸ ἀνατολῶν ἡλίου μέχρι*

---

11 : Is. 53,5-9 14 : Gal. 3, 13. 17 : Heb. 9, 24. 38 : Ps. 49, 2.

*δυσμῶν»*, τὸ τοῦ θείου κἀνταῦθα φάναι Δαβίδ, αἰνετὸν καὶ τούτου τὸ ὄνομα χρηματίζειν.

Ταῦτά τε τοίνυν καὶ τὰ παραπλήσια τούτων ὁ ἐμὸς κατ' ἐξαίρετον σὺ καὶ προστάτης καὶ σωτὴρ καὶ δεσπότης τοῖς πᾶσιν, ἧπερ ἔφην, ἀενάως ὑπὲρ πάσας πηγὰς ἑκάστοτε βρύεις καὶ τῶν ἀθανάτων ἐκεῖ γερῶν καὶ τῶν ἀϊδίων ἀγαθῶν ἐν Χριστῷ καὶ μετὰ Χριστοῦ, A317v δεξιὸς ἑτοιμαστὴς καὶ μεσίτης καὶ οἰκονόμος καὶ πρύ|τανις ἐς τὰ μάλιστα χρηματίζεις, τὰ τῶν ἀγγέλων ὡς ἰσάγγελος σὺν ἀγγέλοις κἀκεῖ πολιτευόμενος καὶ διαχειρίζων καὶ τὴν ὑμνουμένην τῶν οὐρανῶν βασιλείαν καὶ τὰς ἀϊδίους ἐκείνας μονάς, τοῖς σοῖς προευτρεπίζων καὶ προμνώμενος, ὥσπερ μετὰ παντὸς τοῦ βελτίστου οὐ μὴν ἀλλὰ κἀνταῦθα γε ὄντας ἡμᾶς, τὸ τῆς ὑψηλῆς ἀγάπης ὑψηλὸν καὶ ὑπερφυὲς χρῆμα πρὸς τοῖς εἰρημένοις διὰ τούτων ἁπάντων διδάσκεις καὶ ὡς τοῦτ' αὐτὸ καὶ οὐκ ἄλλο, οὔτε μίμησις ἀκραιφνὴς καὶ ἀκριβὴς ἐπάνοδος πέφυκε πρὸς τὴν πρώτην εἰκόνα καὶ τὸ ὁμοίωμα, ἀπάθειά τε ψυχῆς καὶ εἰρήνη καὶ θεοῦ κατοικία καὶ θέωσις, τῆς μεγίστης τῶν οὐρανῶν βασιλείας αἱ μέγισται καὶ ὑπερφυεῖς ἀρχαὶ καὶ τὰ ξένα προοίμια· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα σὺν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν.

---

## ΕΠΙΣΗΜΕΙΩΜΑ

1. Εἰς τὸν κώδικα Β τὸ ἐγκώμιον τοῦ Φιλοθέου φέρει τὸν τίτλον: *«ὁμιλία εἰς τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ Δημήτριον τὸν μυροβλήτην καὶ εἰς τὸ εὐαγγελικὸν ῥητόν, τὸ ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους»*. Δὲν πρόκειται ὅμως περὶ δύο θεμάτων διαφορετικῶν· ὁ Φιλόθεος ἐχρησιμοποίησε τὸ ἐκ τοῦ κατὰ Ἰωάννην εὐαγγελικὸν ῥητόν, ἁπλῶς διὰ νὰ ἑρμηνεύσῃ καλύτερον τὴν μορφὴν τοῦ ἁγίου, τὸν ὁποῖον ἐγκωμιάζει. Διὰ τὸν ὁμιλητὴν ὁ ἅγιος Δημήτριος ἐκφράζει καὶ διὰ τῆς θυσίας του καὶ ἀργότερον διὰ τοῦ παραδείγματός του καὶ τῆς διαρκοῦς παρουσίας του κατὰ τρόπον ὑποδειγματικὸν τὴν ἔννοιαν τῆς χριστιανικῆς ἀγάπης. Ἡ πρωτότυπος αὕτη σύλληψις τοῦ θέματος τὸν ἔφερεν ἀφ' ἑνὸς μὲν εἰς βραχεῖαν μόνον ἀφήγησιν τοῦ ἐπεισοδίου τοῦ θανάτου τοῦ ἁγίου Δημητρίου, ἀφ' ἑτέρου δὲ εἰς ἐκτενῆ ἀνάλυσιν τῆς περὶ ἀγάπης ἑρμηνείας τοῦ Ἰωάννου. Μολονότι δὲ καὶ ὁ Φιλόθεος καὶ ὁ ὑπ' αὐτοῦ ὑμνούμενος ἅγιος συνδέονται πρὸς τὴν Θεσσαλονίκην, ὁ ὁμιλητὴς τονίζει ὅλως ἰδιαιτέρως τὴν οἰκουμενικότητα τοῦ

ἁγίου, ὄχι εἰδικῶς τὴν σχέσιν του πρὸς τὴν Θεσσαλονίκην. Οὐσιαστικῶς μάλιστα καὶ ἀπὸ τὴν ὑψηλὴν αὐτὴν πνευματικὴν σκοπιὰν ὁ ἅγιος Δημήτριος εἰς τὸ ἐγκώμιον τοῦ Φιλοθέου ἀπὸ ἅγιος μιᾶς συγκεκριμένης περιοχῆς καὶ ἐποχῆς παρουσιάζεται ὡς σύμβολον τῆς χριστιανικῆς διδασκαλίας περὶ ἀγάπης. Περισσότερον ἄλλωστε ὡς σύμβολα καὶ πολὺ ὀλιγώτερον ὡς ἱστορικὰς προσωπικότητας ὁ Φιλόθεος εἶδεν ὄχι μόνον τοὺς εἰς ἄλλο ἔργον του ἐγκωμιασθέντας ὑπ' αὐτοῦ τρεῖς Ἱεράρχας,[1] ἀλλὰ καὶ αὐτὸν τὸν Γρηγόριον Παλαμᾶν.[2]

2. Εἰς τὸν πρόλογον τῆς παρούσης ἐργασίας ἀνεφέρθη ἤδη ἡ παρέμβλητος εἰς τὸ ἐγκώμιον τοῦ ἁγίου Δημητρίου ἐπίκρισις τοῦ «filioque» ὑπὸ τοῦ Φιλοθέου. Ἄλλο κείμενον τοῦ ἰδίου πατριάρχου ἐναντίον τῶν Λατίνων σῴζεται κατὰ τὸν Krumbacher εἰς κώδικα τῆς βιβλιοθήκης τοῦ Τουρίνου.[3] Τὰ περὶ τῶν σχέσεων τοῦ Φιλοθέου πρὸς τὴν ἐκκλησίαν τῆς Ρώμης κατὰ τὰς ἐπὶ τοῦ αὐτοκράτορος Ἰωάννου Ε΄ τοῦ Παλαιολόγου καὶ τοῦ πάπα Οὐρβανοῦ τοῦ Ε΄ διεξαχθείσας διαπραγματεύσεις περὶ ἑνώσεως τῶν δύο ἐκκλησιῶν ἔχουν ἤδη ἀναπτυχθῆ διεξοδικῶς ὑπὸ τοῦ Vasiliev[4] καὶ ὑπὸ τοῦ Halecki,[5] οὕτως ὥστε νὰ παρέλκῃ ἡ μνεία των ἐνταῦθα. Καὶ ἐκ τοῦ κειμένου πάντως αὐτοῦ εἶναι, νομίζω, σαφὲς ὅτι ὁ Φιλόθεος δὲν ἦτο δυνατὸν νὰ ὑποστηρίξῃ τὰς πρὸς ἕνωσιν τῶν δύο ἐκκλησιῶν κινήσεις. Τοῦτο δ' ἄλλωστε εἶναι ὅ,τι ἀκριβῶς θὰ ἀνέμενε κανεὶς ἀπὸ θαυμαστὴν τοῦ Παλαμᾶ καὶ ἐπικριτὴν τῶν Βαρλααμιτῶν, οἷος ἦτο ὁ Φιλόθεος.

3. Ἡ ἐπίκρισις αὕτη τοῦ δόγματος τῆς καθολικῆς ἐκκλησίας ἀποτελεῖ καὶ τὸ μοναδικὸν στοιχεῖον διὰ τὴν χρονολόγησιν τοῦ ἐγκωμίου. Τὸ ἐγκώμιον ἔχει γραφῆ προφανῶς κατὰ τὴν δευτέραν πατριαρχείαν τοῦ Φιλοθέου (1364 - 1375), καὶ δὴ κατὰ τὴν ἐποχήν, καθ' ἣν ὁ Φιλόθεος διεξῆγε πολεμικὴν κατὰ τῆς καθολικῆς ἐκκλησίας ἐν ὄψει τῶν διεξαγομένων συζητήσεων περὶ ἑνώσεως, ἤτοι μεταξὺ τοῦ 1367 καὶ 1372.

4. Πλεῖστα ὅσα θέματα συνδεόμενα πρὸς τὸν Φιλόθεον μένουν εἰσέτι ἀσαφῆ, ἰδίᾳ λόγῳ τῶν πολλῶν παραμενόντων εἰσέτι ἀνεκδότων ἔργων του. Εὐχὴ τοῦ ἐκδίδοντος τὸ ἐγκώμιον τοῦ ἁγίου Δημητρίου ἐνταῦθα θὰ ἦτο ἡ ἔκδοσις αὕτη νὰ γίνῃ ἀφορμὴ μιᾶς συστηματικῆς ἐρεύνης ὅλων τῶν ζητημάτων, τῶν ἀφορώντων εἰς τὸν Φιλόθεον.

---

[1] Migne, Patrologia graeca. 154, 767 - 820.

[2] Migne, ἔνθ' ἀν. 151, 551 - 656. [3] Krumbacher, GBL,[2] 1897, 108.

[4] Vasiliev A.A., Il viaggio dell' imperatore bizantino Giovanni V Paleologo in Italia (1369 - 1371) e l'unione di Roma del 1369. Studi bizantini e neoellenici 3, 1931, 153 - 193.

[5] Halecki O., Un empereur de Byzance à Rome. Travaux historiques de la Societé des Sciences et des Lettres de Varsovie τόμος 8. Varsow 1930.

5. Κατὰ τὴν ἐκτύπωσιν τῆς ἐργασίας αὐτῆς δὲν μοῦ ἦτο εἰσέτι προσιτὸς ὁ κῶδιξ Vaticanus graecus 809, περιέχων καὶ αὐτὸς τὸ ἐγκώμιον τοῦ ἁγίου Δημητρίου ὑπὸ τοῦ Φιλοθέου (ff. 187v - 210v). Πρβλ. περιγραφὴν τοῦ κώδικος ὑπὸ Devreesse R., Codices Vaticani graeci, III, 1950, 345 - 346. Ἐκ τῶν φωτογραφιῶν πάντως, τὰς ὁποίας μοῦ ἔστειλεν ἡ Βιβλιοθήκη τοῦ Βατικανοῦ τῇ εὐγενεῖ φροντίδι τοῦ πατρὸς Alfareda, βλέπω ὅτι ὁ κῶδιξ οὐδὲν νέον ἔχει νὰ προσθέσῃ εἰς τὸ ἐνταῦθα ἐκδιδόμενον κείμενον.

Harvard University
Dumbarton Oaks

ΒΑΣΙΛΕΙΟΣ ΛΑΟΥΡΔΑΣ